ἀδικεῖν μήτ' ἀδικεῖσθαι· καὶ [1] ἐντεῦθεν δὴ ἄρξασθαι νόμους τίθεσθαι, καὶ ξυνθήκας αὐτῶν· καὶ ὀνομάσαι τὸ ὑπὸ τοῦ νόμου ἐπίταγμα, νόμιμόν τε καὶ δίκαιον· καὶ εἶναι δὴ ταύτην γένεσίν τε καὶ οὐσίαν δικαιοσύνης, μεταξὺ οὖσαν τοῦ μὲν, ἀρίστου ὄντος, ἐὰν ἀδικῶν μὴ διδῷ δίκην· τοῦ δὲ, κακίστου, ἐὰν ἀδικούμενος τιμωρεῖσθαι ἀδύνατος ᾖ· τὸ δὲ δίκαιον ἐν μέσῳ ὂν τούτων ἀμφοτέρων, ἀγαπᾶσθαι, οὐχ' ὡς ἀγαθὸν, ἀλλ' ὡς ἀῤῥωστίᾳ τοῦ ἀδικεῖν τιμώμενον· ἐπεὶ τὸ δυνάμενον αὐτὸ ποιεῖν, καὶ ὡς ἀληθῶς ἄνδρα, οὐδ' ἂν ἑνί ποτε ξυνθέσθαι τὸ μήτε ἀδικεῖν, μήτε ἀδικεῖσθαι· μαίνεσθαι γὰρ ἄν· ἡ μὲν γ' οὖν δὴ φύσις δικαιοσύνης, ὦ Σώκρατες, αὕτη τε καὶ τοιαύτη· καὶ ἐξ ὧν πέφυκε, τοιαῦτα, ὡς ὁ λόγος· ὡς δὲ καὶ οἱ ἐπιτηδεύοντες, ἀδυναμίᾳ τοῦ ἀδικεῖν, ἄκοντες αὐτὸ ἐπιτηδεύουσι, μάλιστ' ἂν αἰσθοίμεθα, εἰ τοιόνδε ποιήσαιμεν τῇ διανοίᾳ· δόντες ἐξουσίαν ἑκατέρῳ ποιεῖν ὅ, τι ἂν βούληται, τῷ τε δικαίῳ, καὶ τῷ ἀδίκῳ εἶτ' ἐπακολουθήσαιμεν θεώμενοι ποῖ ἡ ἐπιθυμία ἑκάτερον ἄξει· ἐπαυτοφώρῳ οὖν λάβοιμεν ἂν τὸ δίκαιον τῷ ἀδίκῳ εἰς ταυτὸν ἰόντα, διὰ τὴν πλεονεξίαν· ὃ πᾶσα φύσις διώκειν πέφυκεν ὡς ἀγαθὸν, νόμῳ δὲ βίᾳ παράγεται ἐπὶ τὴν τοῦ ἴσου τιμήν· εἴη δ' ἂν ἡ ἐξουσία ἣν λέγω, τοιάδε μάλιστα, εἰ αὐτοῖς γένοιτο οἵαν ποτὲ φασὶ δύναμιν τῷ [2] Γυγου τοῦ Λυδοῦ προγό-

1 Ἐντεῦθεν δὴ ἄρξασθαι] *Statuendum est Originem Magnarum & diuturnarum societatum, non a mutua hominum benevolentia, sed mutuo metu extitisse. Hobbes. de cive* c. 1. Ex hoc libro suam de Imperio notionem cepisse videtur *Hobbesius* quod fusius in legendo videre erit, & inde statuisse: statum Naturæ esse statum belli, quando Messis Cadmeanæ instar

—Furit omnis turba, suoque
Marte cadunt subiti per mutua vulnera fratres. Ovid. *Metam.* lib. 3. *Nisi imbecelli essent homines, non essent futuri benigni & benefici.* Cic. de Nat. *Deor.* & rursus. *Omnis in imbecillitate est gratia & caritas. Idem.*

πρὸ

paciſcantur, ut neque inferri, neque accipi poſſit injuria : hincque volunt originem habuiſſe leges, placitaque ipſarum, & nominata eſſe præcepta legum legitima atque juſta. Hanc itaque juſtitiæ originem & ſubſtantiam eſſe volunt, quæ media quodammodo ſit optimum inter & peſſimum. Quandoquidem optimum eſt inferre injuriam, nec dare pœnas : peſſimum vero pati nec ulciſci poſſe. Juſtum ergo horum in medio conſtitutum amari non tanquam bonum : ſed ex imbecillitate injuriam inferendi, tanquam injuriarum inferendarum obſtaculum. Eum ſane qui hoc efficere poſſit, vereque ſit vir, cum alio paſciſci nunquam decernereque ne ultro citroque injuria inferatur, alioquin inſaniret. Hæc eſt, ô Socrates, natura juſtitiæ atque hujuſmodi & ex talibus, ut ferunt, progenita. Quod autem qui juſtitiam ſervant, inviti id agant, cum injuriam inferre nequeant, plane perſpiceremus, ſi tale quiddam animo fingeremus : ſi utrique licentiam largiremur quodcunque liberet agenpi, & juſto pariter & injuſto : deinde pone ſequeremur : explorantes quo rapiat utrunque libido : deprehenderemus profecto juſtum plus habendi aviditate compulſum ad eadem ſe atque injuſtum conferre. Hoc ſiquidem natura omnis ut bonum expetit, lege autem ac vi ad æqualitatem ſervandam ducitur. Erit autem licentia quam dico, talis iſtis ſi detur, qualem aliquando ferunt fuiſſe Gygæ Lydi progenitori : fuiſſe enim ipſum fe-

2 Τῷ Γύϛ Ϛ] *Tanaq: Faber* iu Epiſtola ad *Sarravium*, recte videt, locum hunc eſſe corruptum : quem itaque (obiter notata *Serrani* interpretis imperitia quam *Caſaubonus* ad *Theophraſtum* prius obſervaverat) ſic emendare conatur. Τῷ Γύγῃ Κεφίτε Ϛ λύδε ϖϑεῳήϖ. Verum hic etiam vir ille pro ſolita MSS. negligentia, nimis audacter interſerit vocem integram, Modeſtior fuiſſet ſi ſine ulla interpolatione reposuiſſet τῷ Γύγῃ Ϛ λύδε ϖϑεῳήϖ, ita ut *Cræſus* appellaretur ὁ λύδος, κατ' ἐξοχήν, Lydiæ utpote regum celeberrimus. Sed ſi hoc

runt

νῳ γενέσθ. εἶναι μὲν γὰρ αὐτὸν ποιμένα ὑπὸ τῶν τότε Λυδίας ἄρχοντι· ὄμβρου δὴ πολλοῦ γενομένου καὶ σεισμοῦ, ῥαγῆναί τι τῆς γῆς, καὶ γενέσθαι χάσμα κατὰ τὸν τόπον ἢ ἔνεμεν· ἰδόντα δὲ καὶ θαυμάσαντα, καταβῆναι, καὶ ἰδεῖν ἄλλά τε δὴ ἃ μυθολογοῦσι θαυμαστά, καὶ ἵππον χαλκοῦν κοῖλον, θυρίδας ἔχοντα· καθ' ἃς ἐσκύψαντα, ἰδεῖν σῶμα νεκρὸν, ὡς φαίνεσθαι, μείζω ἢ κατ' ἄνθρωπον· τοῦτον δὲ ἄλλο μὲν οὐδὲν, περὶ δὲ τῇ χειρὶ χρυσοῦν δακτύλιον φέρειν· ὃν περιελόμενον ἐκβῆναι· συλλόγου γενομένου τοῖς ποιμέσιν εἰωθότος, ἵν' ἐξαγγέλοιεν κατὰ μῆνα τῷ βασιλεῖ τὰ περὶ τὰ πρόβατα, ἀφικέσθαι καὶ ἐκεῖνον, ἔχοντα τὸν δακτύλιον· καθήμενον δὲν μετὰ τῶν ἄλλων, τυχεῖν τινὰ σφενδόνην τοῦ δακτυλίου περιαγόντα πρὸς ἑαυτὸν εἰς τὸ εἴσω τὸν χειρός· τοῦτο δὲ γενόμενον, ἀφανῆ αὐτὸν γενέσθαι τοῖς παρακαθημένοις, καὶ διαλέγεσθαι ὡς περὶ οἰχομένου καὶ τὸν θαυμάζειν τε, καὶ πάλιν ἐπιψηλαφῶντα τὸν δακτύλιον, στρέψαι ἔξω τὴν σφενδόνην· καὶ στρέψαντα, φανερὸν γενέσθαι· καὶ τοῦτο ἐννοήσαντα, ἀποπειρᾶσθαι τοῦ δακτυλίου εἰ ταύτην ἔχει τὴν δύναμιν· καὶ αὐτῷ οὕτω συμβαίνειν, στρέφοντι μὲν εἴσω τὴν σφενδόνην, ἀδήλῳ γίγνεσθαι· ἔξω δὲ, δήλῳ· αἰσθόμενον δὲ, εὐθὺς διαπειράσασθαι τῶν ἀγγέλων γενέσθαι τῶν περὶ τὸν βασιλέα· ἐλθόντα δὲ, καὶ τὴν γυναῖκα αὐτοῦ μοιχεύσαντα, μετ' ἐκείνης ἐπιθέμενον τῷ βασιλεῖ, ἀποκτεῖναι, καὶ τὴν ἀρχὴν κατασχεῖν· εἰ δὴ δύο τοιούτω δακτυλίω γενοίσθην, καὶ τῶν μὲν δίκαιος περιθεῖτο, τῶν δὲ ἄδικος, οὐδεὶς ἂν γένοιτο, ὡς δοκεῖεν, οὕτως ἀδαμάντινος, ὃς ἂν μείνειεν

minus ſtabile videatur, nec lectio talis ullibi occurrat alias, crediderim Librarium feſtinantem nimis, cum hunc locum tranſcriberet de *Gygis* annulo, non ſatis inſpecta ſententiæ ſerie, *Gygis* nomen arripuiſſe atque in Textum poſuiſſe, cum

cui

runt mercenarium paſtorem ejus qui tunc Lydis imperabat. Magna autem imbrium tempeſtate exorta, motaque terra ferunt terram hiatum feciſſe in ea regione, ubi ille armenta paſcebat. Quæ cum vidiſſet, mirabundus in hiatum deſcendit, conſpexitque & alia quæ fabulantur miranda, & equum æneum concavum, cujus in lateribus fores erant, quibus apertis, hominis mortui vidit corpus magnitudine inuſitata, hoc nihil habebat aliud præter aureum digito annulum. Quem ut detraxit, abiit, ac tum in concilium paſtorum ſe recipit: quod ea re fieri ſolebat ut de rebus peculii ad regem per ſingulos menſes referrent, juxtaque alios aſſedit. Acciditque ut cum forte palam ejus annuli ad palmam convertiſſet, a nullo videretur, aliique de illo tanquam abſente loquerentur. Admiratus ergo, denuo contrectans annulum, palam in lucem convertit, quo facto, rurſus apparuit. Hoc ille animadvertens, diligentius periculum fecit, utrum hanc annulus vim haberet: atque ita illi compertum fuit, quod verſa ad ſe gemma a nemine videretur: verſa autem ad alios, conſpicuus fieret. Quod quidem expertus, curavit ut legatus ad regem una cum aliis mitteretur, profectuſque uxorem ejus ſtupravit, & de rege interficiendo cum ea conſilium iniit, quo cæſo, regnum occupavit. Si igitur duo tales annuli eſſent: alterumque juſtus, injuſtus alterum poſſideret ac ferret, nullus profecto eſſet, ut videtur, adeo adamantinus, ut in ipſa juſtitia permaneret, & ab alienis

recte legendum ſit, τῷ κρείσου τοῦ Λύδου προγόνῳ.

1 Τῷ Βασιλεῖ] *Candaulem* interfecit *Gyges*, in anno ſecundo XVI. Olymp. vid. *Cic.* de Offic, lib. 3. ubi hæc Fabula narratur cum reflexione.

ab-

ἐν τῇ δικαιοσύνῃ, καὶ τολμήσειεν ἀπέχεσθαι τῶν ἀλλοτρίων, καὶ μὴ ἅπτεσθαι. ἐξὸν αὐτῷ καὶ ἐκ τῆς ἀγορᾶς ἀδεῶς ὅ, τι βούλοιτο λαμβάνειν, καὶ εἰσιόνη εἰς τὰς οἰκίας, συγγίνεσθαι ὅτῳ βούλοιτο, καὶ ἀποκτιννύναι καὶ ἐκ δεσμῶν λύειν οὕστινας βούλοιτο· καὶ τἄλλα πράττειν, ἐν τοῖς ἀνθρώποις ἰσόθεον ὄντα. οὕτω δὲ δρῶν, οὐδὲν ἂν διάφορον τοῦ ἑτέρου ποιοῖ, ἀλλ' ἐπὶ ταυτὸν ἴοιεν ἀμφότεροι· καίτοι μέγα τοῦτο τεκμήριον ἂν φαίη τὶς ὅτι οὐδεὶς ἑκὼν δίκαιος, ἀλλ' ἀναγκαζόμενος· ὡς οὐκ ἀγαθοῦ ἰδίᾳ ὄντος· ἐπεὶ ὅπουγ' ἂν οἴηται ἕκαστος οἷός τ' ἔσεσθαι ἀδικεῖν, ἀδικεῖ· λυσιτελεῖν γὰρ δὴ οἴεται πᾶς ἀνὴρ πολὺ μᾶλλον ἰδίᾳ τὴν ἀδικίαν τῆς δικαιοσύνης· ἀληθῆ οἰόμενος, ὥς φησιν ὁ περὶ τοῦ τοιούτου λόγου λέγων· ἐπεὶ εἴ τις τοιαύτης ἐξουσίας ἐπιλαβόμενος, μηδέν ποτε ἐθέλοι ἀδικῆσαι, μηδὲ ἅψαιτο τῶν ἀλλοτρίων, ἀθλιώτατος μὲν ἂν δόξειεν εἶναι τοῖς αἰσθανομένοις καὶ ἀνοητότατος, ἐπαινοῖεν δ' ἂν αὐτὸν ἀλλήλων ἐναντίον, ἐξαπατῶντες ἀλλήλους, διὰ τὸν τοῦ ἀδικεῖσθαι φόβον· ταῦτα μὲν δὴ οὕτω· [1] τὴν δὲ κρίσιν αὐτοῖν τοῦ βίου περὶ ὧν λέγομεν, ἐὰν διαστησώμεθα τόν τε δικαιότατον καὶ τὸν ἀδικώτατον, οἷοιτ' ἐσόμεθα κρῖναι ὀρθῶς· εἰ δὲ μὴ, οὔ· τίς οὖν δὴ ἡ διάστασις ἥδε; μηδὲν ἀφαιρῶμεν μήτε τοῦ ἀδικου, ἀπὸ τῆς ἀδικίας, μήτε τοῦ δικαίου, ἀπὸ τῆς δικαιοσύνης, ἀλλὰ τέλεον ἑκάτερον εἰς τὸ ἑαυτοῦ ἐπιτήδευμα τιθῶμεν· πρῶτον μὲν οὖν ὁ ἄδικος, ὥσπερ οἱ δεινοὶ δημιουργοὶ, ποιείτω· οἷον, κυβερνήτης ἄκρος, ἢ ἰατρὸς, τά τε ἀδύνατα ἐν τῇ τέχνῃ καὶ τὰ δυνατὰ διαισθάνεται, καὶ τοῖς μὲν ἐπιχειρεῖ, τὰ δὲ ἐᾷ· ἔτι δὲ ἐὰν ἄρα πη σφαλῇ, ἱκανὸς ἐπανορθοῦσθαι· οὕ-

1 Τὴν δὲ κρίσιν] Sequitur optima comparatio *Justi* & *injusti* uter illorum felicior, licet hic tantis artibus *injustitiam*

τω

abſtinere vellet, cum liceret illi ex foro intrepide quodcunque vellet arripere, ingredique alienas domos, & pro libidine cum quovis congredi, & interficere, & ex carcere quemlibet ſolvere, & alia, quaſi par deo ſit, inter homines facere. Hæc igitur cum uterque faceret, nequaquam alter ab altero in agendo differret, ſed ambo eodem tenderent. Quæ quidem maxima eſſe poteſt conjectura, neminem volentem, imo invitum eſſe juſtum, quaſi id per ſe, & privatim non ſit bonum. Quoniam ubicunque injuſte agere quiſque ſe poſſe confidit, agit protinus, prodeſſe enim quiſque privatim multo magis exiſtimat injuſtitiam quam juſtitiam: rectèque ſentit quiſquis ita judicat, ut ſermonis hujus perhibent autores. Quod ſi quis hujuſmodi facultatem nactus, velit ab injuſtitia abſtinere, neque aliena tangat, infeliciſſimus & ſtolidiſſimus apud eos qui hoc adverterent, putaretur, laudarent tamen illum alii coram aliis, ſeſe mutuo decipientes, quia maxime timent ne afficiantur injuria. Atque hæc quidem ita ſint dicta. Vitam vero utriuſque, juſti videlicet & injuſti, ita plane dijudicabimus, ſi juſtiſſimum virum ſeorſum & injuſtiſſimum diſtinguemus. aliter vero nequaquam. Sit autem hæc diſcretio talis, ut nihil auferamus injuſtitiæ ab injuſto: neque quicquam ab juſto juſtitiæ, ſed perfectum utrunque in ſuo ſtudio ponamus. Primum igitur injuſtus tanquam optimi artifices, faciat: videlicet quemadmodum gubernator ſummus vel medicus, quæ in arte ſua confici poſſunt, & quæ non poſſunt, ſentit: & illa quidem aggreditur, iſta relinquit, & ſi qua præterea in re peccaverit, corrigere poteſt: ita

ſuam celet; Ille vero tantis calamitatibus opprimatur, adeo ut habeatur malus.

&

τω καὶ ὁ ἄδικος, ἐπιχειρῶν ὀρθῶς τοῖς ἀδικήμασι, λανθανέτω, εἰ μέλλει σφόδρα ἄδικος εἶναι· τὴν ἁλισκόμενον δὲ, φαῦλον ἡγητέον· ἐσχάτη γὰρ ἀδικία, δοκεῖν δίκαιον εἶναι, μὴ ὄντα· δοτέον οὖν τῷ τελέως ἀδίκῳ τὴν τελεωτάτην ἀδικίαν, καὶ οὐκ ἀφαιρετέον· ἀλλ' ἐατέον, τὰ μέγιστα ἀδικοῦντα τὴν μεγίστην δόξαν αὐτῷ παρεσκευακέναι εἰς δικαιοσύνην· καὶ ἐὰν ἄρα σφαλῇ καί τι, ἐπανορθοῦσθαι δυνατῷ εἶναι· λέγειν τε ἱκανῷ ὄντι πρὸς τὸ πείθειν, ἐάν τι μηνύηται τῶν ἀδικημάτων, καὶ βιάσασθαι ὅσα ἂν βίας δέηται, διά τε ἀνδρείαν καὶ ῥώμην, καὶ διὰ παρασκευὴν φίλων καὶ οὐσίας· τοῦτον δὲ τοιοῦτον θέντες, τὸν δίκαιον παρ' αὐτὸν ἱστῶμεν τῷ λόγῳ, ἄνδρα ἁπλοῦν καὶ γενναῖον, κατ' Αἰσχυλον, --οὐ δοκεῖν ἀλλ' εἶναι ἀγαθὸν ἐθέλοντα· ἀφαιρετέον δὴ τὸ δοκεῖν· εἰ γὰρ δόξει δίκαιος εἶναι, ἔσονται αὐτῷ τιμαὶ καὶ δωρεαὶ, δοκοῦντι τοιούτῳ εἶναι· ἄδηλον οὖν εἴτε τοῦ δικαίου, εἴτε τῶν δωρεῶν τε καὶ τιμῶν ἕνεκα, τοιοῦτος εἴη· γυμνωτέος δὴ πάντων πλὴν δικαιοσύνης, καὶ ποιητέος ἐναντίως διακείμενος τῷ προτέρῳ· μηδὲν γὰρ ἀδικῶν, δόξαν ἐχέτω τὴν μεγίστην ἀδικίας· ἵν' ᾖ βεβασανισμένος εἰς δικαιοσύνην, τῷ μὴ τέγγεσθαι ὑπὸ κακοδοξίας, καὶ τῶν ὑπ' αὐτῆς γιγνομένων· ἀλλ' ἤτω ἀμετάστατος μέχρι θανάτου· δοκῶν μὲν εἶναι ἄδικος διὰ βίου, ὢν δὲ δίκαιος· ἵν' ἀμφότεροι εἰς τὸ ἔσχατον ἐληλυθότες, ὁ μὲν, δικαιοσύνης, ὁ δὲ, ἀδικίας, κρίνωνται ὁπότερος αὐτοῖν εὐδαιμονέστερος. Βαβαὶ (ἦν δ' ἐγὼ) ὦ φίλε Γλαύκων, ὡς ἐῤῥωμένως ἑκάτερον, ὥσπερ ἀνδριάντα, εἰς τὴν κρίσιν ἐκκαθαίρεις τοῖν ἀνδροῖν. Ὡς μάλιστ', ἔφη, δύναμαι· ὄντοιν δὴ τοιούτοιν, οὐδὲν ἔτι, ὡς ἐγῷμαι, χα-

1 Ἤτω ἀμετάστατος] *Accidere viro bono non potest, ut vincatur, nunquam enim succumbet, nunquam renunciabit, ad*

λεπὸν

& injuſtus recte injurias aggrediens, lateat, ſi maxime injuſtus futurus eſt. Sin autem deprehenſus fuerit, iners exiſtimandus eſt. Extrema enim injuſtitia eſt, juſtum videri eum qui non ſit juſtus. Danda eſt igitur injuſtiſſimo perfectiſſima injuſtitia, neque auferenda: ſed permittendum ut is qui eſt injuſtiſſimus, apud omnes juſti habeat opinionem, & ſi qua in re peccarit, corrigere poſſit, ſitque ad perſuadendum idoneus, ſi quid de ipſo mali facinoris nunciatur, & ad vim ſi opus fuerit, inferendam fortitudine robore, opumque & amicorum copia. Cum hunc talem finxerimus, juxta ipſum virum ponamus juſtum, ſimplicem hominem & ingenuum, qui ut ſcriptum ab Æſchylo non videri, ſed eſſe bonus ſtudeat. Removenda quippe ab eo juſtitiæ omnis opinio, ſi enim juſtus cuiquam videatur eſſe, aderunt illi honores & præmia. Incertum igitur erit, juſtine, an honorum munerumque gratia talis ſit. Privandus itaque rebus omnibus præterquam juſtitia, atque ita ponendus, ut ſuperiori contrarius ſit: nihil enim injuſte agens, injuſtiſſimus eſſe credatur: ut quaſi quodam examine ad juſtitiam ſit probatus, nec infamia, nec his rebus quæ eam ſequuntur, immergatur. Sed uſque ad mortem immobilis perſeveret, dum per omnem vitam injuſtus exiſtimatur, eſt tamen juſtus: ut cum utique ad extremum pervenerit, hic quidem juſtitiæ, ille autem injuſtitiæ, judicetur uter eorum ſit beatior. Papæ, quam vehementer, inquam, ô amice Glauco, utrumque virum quaſi ſtatuam quandam in judicium ducis. Quam mtxime, inquit, poſſum. Cum ergo tales ſint, nihil jam, ut arbitror, difficile nar-

ultimum uſque diem vitæ ſtabit paratus, & in hac ſtatione moratu

rietur. Seneca de Benef. *lib. 5. cap.* 1.

λεπὸν ἐπεξελθεῖν τῷ λόγῳ οἷος ἑκάτερον βίος ἐπιμένει· λεκτέον οὖν· καὶ δὴ κἂν ἀγροικοτέρως λέγῃ, μὴ ἐμὲ οἴου λέγειν, ὦ Σώκρατες, ἀλλὰ τοὺς ἐπαινοῦντας πρὸ δικαιοσύνης ἀδικίαν· ἐροῦσι δὲ τάδε· ὅτι οὕτω διακείμενος ὁ δίκαιος μαστιγώσεται, στρεβλώσεται, δεδήσεται, ἐκκαυθήσεται τὼ ὀφθαλμώ· τελευτῶν, παντα κακὰ παθὼν, ἀνασχινδυλευθήσεται· καὶ γνώσεται ὅτι οὐκ εἶναι δίκαιον ἀλλὰ δοκεῖν δεῖ ἐθέλειν· τὸ δὲ τοῦ Αἰσχύλου πολὺ ἦν ἄρα ὀρθότερον λέγειν κατὰ τοῦ ἀδίκου· τῷ ὄντι γὰρ φήσουσι τὸν ἄδικον, ἅτε ἐπιτηδεύοντα πρᾶγμα ἀληθείας ἐχόμενον, καὶ οὐ πρὸς δόξαν ζῶντα, οὐ δοκεῖν ἄδικον ἀλλ' εἶναι ἐθέλειν,

Βαθεῖαν ἄλοκα διὰ φρενος καρπούμενον,
Ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα.

Πρῶτον μὲν ἄρχειν ἐν τῇ πόλει, δοκοῦντι δικαίῳ εἶναι, ἔπειτα γαμεῖν ὁπόθεν ἂν βούλοιτο, ἐκδιδόναι εἰς οὓς ἂν βούληται ξυμβάλλειν, κοινωνεῖν οἷς ἂν ἐθέλοι· καὶ παρὰ ταῦτα πάντα, ὠφελεῖσθαι κερδαίνοντα τῷ μὴ δυσχεραίνειν τὸ ἀδικεῖν· εἰς ἀγῶνας τοίνυν ἰόντα, καὶ ἰδίᾳ καὶ δημοσίᾳ περιγίγνεσθαι καὶ πλεονεκτεῖν τῶν ἐχθρῶν· πλεονεκτοῦντα δὲ, πλουτεῖν, καὶ τούς τε φιλοὺς εὖ ποιεῖν, καὶ τοὺς ἐχθροὺς βλάπτειν· καὶ θεοῖς θυσίας καὶ ἀναθήματα ἱκανῶς καὶ μεγαλοπρεπῶς θύειν τε καὶ ἀνατιθέναι, καὶ θεραπεύειν τοῦ δικαίου πολὺ ἄμεινον τοὺς θεοὺς, καὶ τῶν ἀνθρώπων οὓς ἂν βούλεται· ὥστε καὶ θεοφιλέστερον αὐτὸν εἶναι μᾶλλον προσήκειν ἐκ τῶν εἰκότων, ἢ τὸν δίκαιον· Οὕτω φασὶν, ὦ Σώκρατες, παρὰ θεῶν καὶ παρ' ἀνθρώπων τῷ ἀδίκῳ παρεσκευάσθαι τὸν βίον ἄμεινον ἢ τῷ δικαίῳ· Ταῦτ' εἰπόντος τοῦ Γλαύκωνος, ἐγὼ μὲν ἐν νῷ εἶχον τι λέγειν πρὸς ταῦτα· ὁ δὲ ἀδελφὸς αὐτοῦ Ἀδείμαντος, Οὔτι πω οἴει, ἔφη, ὦ Σώκρατες, ἱκανῶς εἰρῆσθαι περὶ τοῦ λόγου; ἀλλὰ τί μήν; εἶπον. Αὐτὸ (ἦ δ' ὃς) οὐκ εἴρηται μά-

λιστα

ratu eſt, qualis utrunque vita maneat. Dicendum igitur quod ſi aſperius aliquid dicatur, ne exiſtima me Socrates, hæc dicere, ſed eos qui præ juſtitia juſtitiam laudant. Dicent enim quod ita affectus juſtus cædetur, torquebitur, & vincula patietur, eruentur illi oculi, atque demum omnia mala perpeſſus ſuſpendetur, atque cognoſcet, non eſſe, ſed videri juſtum, concupiſcendum eſſe. Æſchyli autem carmen rectius intelligi poterat de injuſto. Dicent profecto injuſtum utpote veritati conſona ſectantem, neque ad opinionem hominum viventem, appetere quidem non videri, ſed eſſe injuſtum, *profundum fulcum & frugiferum, in mente habentem, ex quo præclara geminent conſilia.* Primum quidem magiſtratus obire in ſua civitate, cum juſtus appareat: deinde unde velit uxorem ducere: & ſuas cui velit elocare, cum quibuſlibet congredi & communicare atque ad hæc omnia, utilitatem capere quæſtum facientem, cum inferre injuriam minime vereatur: in certaminibus tum publicis, tum privatis ſuperiorem evadere, pluſque emolumenti quam adverſarii inde excerpere: atque hinc efficidivitem, unde proſit amicis & inimicis obſit, Deos tem donariis & ſacrificiis cumulate & magnifice colat, & multo melius quam juſtus, conciliare ſibi poſſit quemlibet vel hominum, vel deorum, ex quo conſentaneum eſſe volunt, ut deo charior ſit quam juſtus. Hac ratione aiunt, ô Socrates, & apud deos, & apud homines melius injuſto vitam inſtitutam eſſe, quam juſto. Hæc cum dixiſſet Glauco, egoque ad hæc reſpondere aliquid cogitarem, frater ejus Adimantus, nedum, inquit, ô Socrates, ſatis de hac re dictum putes, Quid igitur? inquam. Quia id,

λιςα ἔδει ῥηθῆναι. Οὐκοῦν (ἦν δ' ἐγὼ) τὸ λεγόμενον, [1]ἀδελφὸς ἀνδρὶ παρείη· ὥστε κἂν σὺ, εἴπερ ὅδε ἐλλείπει, ἐπάμυνε· καίτοι ἐμέ τε ἱκανὰ κἂν τὰ ὑπὸ τούτου ῥηθέντα καταπαλαῖσαι, κἂν ἀδυνατον ποιῆσαι βοηθεῖν δικαιοσύνῃ. Καὶ ὃς, Οὐδέν, ἔφη, λέγεις· ἀλλ' ἔπι κἂν τάδε ἄκουε· δεῖ γὰρ διελθεῖν ἡμᾶς κἂν τοὺς ἐναντίους λόγους ὧν ὅδε εἶπεν· οἱ δικαιοσύνην μὲν ἐπαινοῦσιν, ἀδικίαν δὲ ψέγουσιν· ἵν' ᾖ σαφέστερον ὅ μοι δοκεῖ βούλεσθαι Γλαύκων· [2]λέγουσι δέ που κἂν παρακελεύονται πατέρες τε υἱέσι, καὶ πάντες οἱ τινῶν κηδόμενοι, ὡς χρὴ δίκαιον εἶναι· οὐκ αὐτὸ δικαιοσύνην ἐπαινοῦντες, ἀλλὰ τὰς ἀπ' αὐτῆς εὐδοκιμήσεις· ἵνα δοκοῦντι δικαίῳ εἶναι [3]γίγνηται ἀπὸ τῆς δόξης, ἀρχαί τε καὶ γάμοι, καὶ ὅσα δὴ Γλαύκων διῆλθεν ἄρτι, ἀπὸ τῆς εὐδοκιμεῖν ὄντα τῷ δικαίῳ· ὅπου πλέον ἢ ὅτου τὰ τῆς δοξῶν λέγουσι· τὰς γὰρ παρὰ θεῶν εὐδοκιμήσεις ἐμβάλλοντες, ἄφθονα ἔχουσι λέγειν ἀγαθὰ τοῖς ὁσίοις, ἃ φασὶ θεοὺς διδόναι ὥσπερ ὁ γενναῖος Ἡσίοδός τε καὶ Ὅμηρος φασίν· ὁ μὲν, τὰς δρῦς τοῖς δικαίοις τοὺς θεοὺς ποιεῖν,

Ἄκρας [4]μὲν τε, φέρειν βαλάνους· μέσσας δὲ, μελίσσας.

Εἰροπόκοι δ' οἷες μαλλοῖς καταβεβείθασι·

καὶ ἄλλα δὴ πολλὰ ἀγαθὰ τούτων ἐκόμενα· ὡσαύτως δὲ καὶ ὁ ἕτερος,

Ὡς [5]τέ τευ (γάρ φησιν) ἢ βασιλῆος ἀμύμονος,
ὅς τε θεοδμὴς
Εὐδικίας ἀνέχῃσι φέρῃσι δὲ γαῖα μέλαινα

1 Ἀδελφὸς ἀνδρὶ] Proverbium de fido auxilio dici ſolitum quod ab *Homero* ſumptum teſtatur *Plato* in *Protagora*: locum fuiſſe arbitror in *Iliad.* Φ. ubi *Scamander*, *Simoentis* auxilium petit.

Φίλε κασιγνήτε θέον, ἄνερ, ἀμφόπερθεν ὄχῳ Σχαμάνδρου.

Hector quoque jam impar *Achilli*, *Deiphobum* fratrem invocat,

Δηΐφοβον δ' ἐκάλει λευκασπίδα μακρὸν ἄυσας. *Iliad.* Χ. *Plutarchus* etiam in vita *Cæſaris* refert, *Caſcam*, *Cæſare* retinente gladium, fratris auxilium imploraſſe, idque verbis

ρὺς

inquit, dictum non est, quod maxime dici oportuit. Frater, inquam ego, *adesto viro*, ut habet proverbium. Quare tu, si quid hic prætermisit, adiuva, quanquam me quæ dicta sunt ab isto, convincere possunt, atque efficere, ut defendere justitiam nequeam. Tum ille Nihil inquit, dicis. Audi & hæc præterea. Decet enim & contrarias orationes inducere earum quas hic attulit, quibus laudatur quidem justitia, injustitia contra vituperatur, ut manifestius fiat quod mihi Glauco velle videtur. Præcipiunt sane patres filiis, atque omnes qui curam aliquorum habent, oportere justum esse, non ipsam justitiam laudantes, sed eos, qui inde sequuntur honores: ut qui justus habetur, ex ea opinione conciliare possit magistratus, & connubia, & quæcunque, eum qui justus habetur, paulo ante dicebat Glaco, assequantur, quinetiam gloriam quoqne illi præterea adjungunt: nam commemorantes deorum benevolentiam, summa referre possunt a diis beneficia, sanctis viris collata. Quod generosus Hesiodus Homerusque testantur. Ille enim justis, deos hoc concedere perhibet, ut *quercus in ramis altioribus glandes ferant; in mediis apes, & oves lana onerentur* multaque alia generis ejusdem bona. His similia dicit & alter. *Quemadmodum enim, inquit, probo regi quique dei similis sit, bonum conferat nomen, ferat terra ni-*

Græcis. Ἀδελφὲ Βοήθει.

2 Λέγουσι δέ που] Popularis Justitiæ descriptio: quod nimirum sit conjuncta emolumentis & commodis, quasi esset mercenaria, ex qua patet, bene agendum esse, ut nobis bene sit. Hujus authores citat Poetas, sacrificos, & cæteros id genus homines.

3 Γίγνεται] Lege si velis γίγνωνται.

4 Ἄκρας μέν] *Hesiod.* ἔργων δὲ ἡμερῶν lib. 1.

5. Ὥς τέ τευ] *Homer.* Odyss. τ.

Πυρὺς καὶ κριθὰς, βρίθῃσι δὲ δένδρεα καρπῷ·
Τίκτῃ δ' ἔμπεδα μῆλα, θάλασσα δὲ παρέχῃ ἰχθῦς.
[1] Μουσαῖος δὲ τούτων νεανικώτερα τἀγαθὰ, [2] καὶ ὁ υἱὸς αὐτοῦ, παρὰ θεῶν διδόασι τοῖς δικαίοις· εἰς ᾅδου γὰρ ἀγαγόντες τῷ λόγῳ, καὶ κατακλίναντες, καὶ συμπόσιον τῶν ὁσίων κατασκευάσαντες, ἐστεφανωμένους ποιοῦσι τὸν ἅπαντα χρόνον ἤδη διάγειν μεθύοντας· ἡγησάμενοι κάλλιστον ἀρετῆς μισθὸν [3] μέθην αἰώνιον· οἱ δ' ἔτι τούτων μακροτέρους μισθοὺς παρὰ θεῶν· [4] παῖδας γὰρ παίδων φασὶ καὶ γένος κατόπισθεν λείπεσθαι τοῦ ὁσίου καὶ εὐόρκου· ταῦτα δὴ καὶ ἄλλα τοιαῦτα ἐγκωμιάζουσι δικαιοσύνην· τοὺς δὲ ἀνοσίους αὖ καὶ ἀδίκους εἰς πηλόν τινα κατορύττουσιν ἐν ᾅδου, καὶ κοσκίνῳ ὕδωρ ἀναγκάζουσι φέρειν· ἔτι τε

1 Μουσαῖος δὲ] Credendum est *Platoni*, nam ne verbum quidem quod scripsit *Musæus* ad nostrum devenit tempus. Poema illud de *Heroe* & *Leandro*, non antiqui illius *Musæi*, (quanquam affirmat *Jul. Scalig.* multa exinde cepisse *Homerum*) sed recentioris cujusdam *Grammatici* est, circa *Nonni* tempora vel Cent. 5. viventis, a cujus *Dionysiacis* multa in prædicto poemate sumuntur.

2 Καὶ υἱὸς αὐτοῦ] Omnino incertum est quis fuit *Musæi* filius, neque possumus aliquid determinare cum nescimus quo floruit tempore. Fuit ille quidem Filius vel discipulus *Orphei*, sed *Orphei* vera ætas ignoratur: Neque possum reperire inter antiquos Poetas, aliquem ita vinosum, ptæter *Homerum* & *Anacreontem*, quorum alterum pro Filio forte velit noster, quia insignis Poeta sicut *Musæus*, ejusque versus paulo ante recitaverit. Doctrinæ hujusce fautorem esse, ex eo constat, quod ait Hercules

——μετ' ἀθανάτοισι Θεοῖσιν
Τέρπεται ἐν θαλίης.

In hymno *Orphei* de Deo *Musæus* vocatur ejus filius τέκνον ἐμόν. Authoritas autem illius hymni parum apud me valet. Neque, ut asserunt nonnulli, *Grotius*, vera fuisse *Orphei* carmina credidit, quanquam ait Mosen *& aqua extractum, & duas a deo tabulas, ei datas* Orphica *carmina diserte memorant*. Prius enim dixisset, *eos hymnos, quos nos sub eo Nomine habemus, ab antiquis appellari* Orphica, *non quod* Orphei *essent, sed quod ab eo tradita continerent.* de Rel. Chris. *lib.* 1.

3 Μέθην αἰώνιον] Mos erat antiquis, post sacrificia peracta, in honorem Deorum bibere, διὰ Θεοὺς οἰνοῦσθαι, vel μεθύειν quasi μετὰ τὸ θύειν, *post sacrificia*. Cum igitur existimarent

ζῶνται

gra triticum atque hordeum, fructu onerentur arbores, fœcundæ pecudes facile pariant, mare pisces subministret. Musæus item atque ejus filius excellentiora etiam bona justis ab ipsis diis tribui voluerunt. Apud inferos enim agentes, ipsosque in sanctorum conviviis collocantes, coronatos faciunt magna cum semper voluptate ebrios vivere, existimantes pulcherrimum virtutis præmium æternam ebrietatem. Qui autem longiora his præmia a diis dari volunt, filios dicunt posterosque justi fidelisque viri genus suum per secula prorogare. His & hujusmodi justitiam laudant, prophanos vero atque injustos cœno quodam apud inferos obruunt, & aquam cribro ferre cogunt. Viventes etiam infamia notant. Ac demum quæcunque supplicia eorum nar-

animas defunctorum iisdem teneri studiis apud inferos, quibus in terris lætabantur, Non impium est, si quis dicat, viros probos, qui vivi sæpe sunt sacrificare soliti, sæpius, Mortui, sacrificando delectari. Ideo nihil mirum si credidissent, perpetuam ebrietatem esse virtutis Mercedem, quia per μέθην αἰώνιον, nihil aliud velint nisi perpetuus Deorum cultus.

4 Παῖδας γὰρ παίδων] Tam apud Ethnicos, quam Judæos, ille Diis habebatur charus, cui numerosa contigisset soboles: quia per illam, immortalitatem quandam, etiam in terris sperabant Patres, Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως υἱοί. Μακάριος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ αὐτῶν. Psalm. 127. Cum *Homerus* ad *Nestorem*, *Telemachum* ducit, dicit ante omnia alia,

—Νέστωρ ἦστο σὺν υἵασιν. Odyss. 11. & summam *Psaumidi* felicitatem optaturus *Pindarus*, precatur, ut ad placidam perveniret senectutem--υἱῶν παρισταμένων. *Filiis astantibus.* Imo tanta in æstimatione fuerunt Liberi, adeo ut, si quæ suspecta Mulier binos peperisset, ab adulterii suspicione liberaretur, unde Servus ad Amphytrionem,

Br. —*Ego faciam tu idem ut aliter prædices.*
Amphitruo *Piam & pudicam Uxorem tuam ut scias,*
De ea re signa atque argugumenta paucis verbis eloquar:
Omnium primum, Alcumena *geminos peperit filios*
Amp. *Ain' tu geminos?*
Br. *Geminos.*
Amp. *Dii me servent.*
Br. *sine me dicere,*
Ut scias tibi, tuæque Uxori, Deos esse omnes propitios.
Plaut. Amp.

ζῶντας εἰς κακὰς δόξας ἄγοντες, ἆρ' Γλαύκων περὶ τ δικαίων, δοξαζομένων ἢ ἀδίκων, διῆλθε πραγμάτα, ταῦτα περὶ τ ἀδίκων λέγουσιν, ἄλλα δὲ οὐκ ἔχουσιν· ὁ μὲν οὖν ἔπαινος καὶ ὁ ψόγος, οὗτος ἑκατέρων· πρὸς δὲ τούτοις, σκέψαι ὦ Σώκρατες ἄλλο αὖ εἶδος λόγων, περὶ δικαιοσύνης τε καὶ ἀδικίας ἰδίᾳ τε λεγόμενον καὶ ὑπὸ ποιητῶν· πάντες γὰρ ἐξένυς φόμαλος ὑμνοῦσιν, ὡς καλὸν μὲν ἡ σωφροσύνη τε καὶ δικαιοσύνη, χαλεπὸν μέντοι καὶ ἐπίπονον· ἀκολασία δὲ καὶ ἀδικία, ἡδὺ μέν, καὶ εὐπετὲς κτήσασθαι, δόξῃ δὲ μόνον καὶ νόμῳ αἰσχρόν· λυσιτελέστερα δὲ τ δικαίων τὰ ἄδικα ὡς ἐπὶ τὸ πλῆθος λέγουσι· καὶ πονηροὺς πλουσίους, καὶ ἄλλας δυνάμεις ἐχοντας, εὐδαιμονίζειν καὶ τιμᾶν εὐχερῶς ἐθέλουσι δημοσίᾳ τε καὶ ἰδίᾳ· τοὺς δὲ ἀτιμάζειν τε καὶ ὑποφορᾶν οἵ ἄν τι ἀσθενεῖς τε καὶ πένητες ὦσιν· ὁμολογοῦντας αὐτοὺς ἀμείνους εἶναι τ ἑτέρων· τούτων δὲ πάντων οἱ περὶ θεῶν τε λόγοι καὶ ἀρετῆς, θαυμασιώτατοι λέγονται· ὡς ἄρα καὶ θεοὶ πολλοῖς μὲν ἀγαθοῖς δυστυχίας τε καὶ βίον κακὸν ἔνειμαν, τοῖς δὲ ἐναντίοις ἐναντίαν μοῖραν· ἀγύρται δὲ καὶ μάντεις ἐπὶ πλουσίων θύρας ἰόντες, πείθουσιν ὡς ἔστι σφίσι δύναμις ἐκ θεῶν πορισθεῖσα, θυσίαις τε καὶ ἐπῳδαῖς, εἴτε τι ἀδίκημά τῳ γέγονεν αὐτῷ ἢ προγόνων, ἀκεῖσθαι μεθ' ἡδονῶν τε καὶ ἑορτῶν· καὶ ἐάν τιν' ἐχθρὸν τιμῆναι ἐθέλῃ, μετὰ σμικρῶν δαπανῶν ὁμοίως δίκαιον ἀδίκῳ βλάψει· ἐπαγωγαῖς τισι καὶ καταδέσμοις τοὺς θεοὺς (ὥς φασι) πείθοντες σφίσιν ὑπηρετεῖν· τούτοις δὲ πᾶσι τοῖς λόγοις μάρτυρας ποιητὰς ἐπάγονται· οἱ μὲν, κακίας πέρι εὐπετείας διδόντες.

Ὡς [1] τὸ μὲν κακότητα καὶ ἱλαδὸν ἔστιν ἑλέσθαι
Ῥηϊδίως· λείη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει·

1 Ὡς τὸν μὲν] *Hesiod. ἔργ. & ἡμερ.* lib. 1.

Τῆς

rabat Glauco, qui juſti ſunt, & videntur injuſti, eadem inſuper injuſtorum enarrant, alia vero non habent. Laus igitur & vituperatio utrorumque ea eſt. Præter hæc conſidera Socrates, aliam quandam de juſtitia injuſtitiaque orationis ſpeciem & privatim & a poetis inductam. Omnes enim uno ore canunt bonum quid temperantiam & juſtitiam eſſe, difficile autem & laborioſum : Intemperantiam vero & injuſtitiam, jucundum quidem & facile comparatu, opinione tantum legeque turpe. Utiliora quinetiam juſtis injuſta, ut vulgo dicunt. Et malos quidem divites potenteſque facile honorant, privatimque ac publice beatos appellant : eos autem contemnunt qui imbecilles & pauperes ſunt, quamvis concedant ipſos meliores cæteris eſſe. Horum vero omnium maxime mirandi de diis & virtute, ſermones, circumferuntur, deos, plurimis bonis hominibus infelicem vitam dediſſe, malis autem contra. Circulatores inſuper & vates ad januas divitum accedentes, perſuadent ſe vim habere a diis per ſacrificia & carmina in feriis & ludis publicis expiandi, ſi quod ſcelus ab his aut eorum majoribus patratum fuerit, & nocendi parvo etiam ſumptu cuicunque velint inimicorum, & juſto pariter, & injuſto. Aſſerunt quippe tum blandimentis quibuſdam, tum vinculis ſe deos inducere, ut ſibi in his obſequantur, Ad hæc omnia poetarum afferunt teſtimonia, quod facile labamur in vitium. (*Nam ad vitium pervenire facile eſt : plana enim eſt via, & admodum prope habitat. Ante virtutem autem ſu-*

Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν,
κάμά τινα ὁδὸν μακρήν τε καὶ ἀνάντη· οἱ δ' ἢ τ' θεῶν
ὑπ' ἀνθρώπων προαγωγῆς τὸν Ὅμηρον μαρτύρομαι· ὅτι καὶ ἐκεῖνος εἶπε,

——[1] τρεπτοὶ δέ γε καὶ θεοὶ αὐτοί.

Καὶ τὰς μὲν θυσίαις καὶ εὐχωλαῖς ἀγανῇσι,
Λοιβῇ τε κνίσῃ τε πρόσσεισι πρόσσε ἄνθρωποι,
Λισσόμενοι, ὅτε κέν τις ὑπερβήῃ καὶ ἁμάρτῃ.

Βίβλων δ' ὅμαδον παρέχονται Μουσαίου, καὶ Ὀρφέως, Σελήνης [2] καὶ Μουσῶν ἐγγόνων, ὡς φασι· καθ' ἃς θυηπολοῦσι, πείθοντες οὐ μόνον ἰδιώτας ἀλλὰ καὶ πόλεις, ὡς ἄρα λύσεις τε καὶ καθαρμοὶ ἀδικημάτων, ἀφὰ θυσιῶν καὶ [3] παιδιᾶς ἡδονῶν, εἰσὶ μὲν ἔτι ζῶσιν, εἰσὶ δ' καὶ τελευτήσασιν· ἃς δή, τελετὰς καλοῦσιν, αἳ δὴ ἐκεῖ κακῶν ἀπολύουσιν ἡμᾶς· μὴ θύσασι δὲ, δεινὰ πρόκειται. ταῦτα πάντα, ἔφη, ὦ φίλε Σώκρατες, τοιαῦτα καὶ τοσαῦτα λεγόμενα ἀρετῆς πέρι καὶ κακίας, ὡς ἄνθρωποι καὶ θεοὶ περὶ αὐτὰ ἔχουσι τιμῆς, τί οἰόμεθα ἀκούσας νέων ψυχὰς ποιεῖν, ὅσοι εὐφυεῖς, καὶ ἱκανοὶ ἐπὶ πάντα τὰ λεγόμενα ὥσπερ ὄρνιθες πέτεσθαι, συλλογίσασθαι, ἐξ αὐτῶν ποῖός τις ἂν ὢν, καὶ πῇ πορευθείς, τὸν βίον ὠφελιμώτατα διέλθοι; λέγοι γὰρ ἂν ἐκ τῶν εἰκότων πρὸς αὐτὸν, καὶ Πίνδαρον, ἐκεῖνο, τὸ, Πότερον δίκας τεῖχος ὕψιον, ἢ σχολιᾶς ἀπάτας ἀναβὰς, καὶ ἐμαυτὸν ὅπως προφεύξας ἀφίξομαι; Τὰ μὲν γὰρ λεγόμενα, δικαίῳ μὲν ὄντι μοι, ἐὰν καὶ μὴ δοκῶ, ὄφελος φασὶν οὐδὲν εἶναι,

1 Τρεπτοὶ δὲ] *Iliad. i.*

2 Σελήνης τε καὶ Μουσῶν] Variæ sunt opiniones de Parentibus *Orphei* sed Musa natum fere omnes autumant.

——*Mater*——
Orphei Calliopea—— *Virg. Poll.*

Πρῶτά νυν Ὀρφῆα μνησώμεθα τὸν ῥά ποτ' αὐτὴ
Καλλιόπη θρῄκι φατίζεται εὐνηθεῖσα

πόνους

sudorem Dii posuerunt : longamque viam & arduam) quod Dii precibus nostris muneribusque flectantur, Homerum adducunt testem, quoniam & ipse inquit, *Flecti quoque Dii possunt & hos quidem sacrificiis, votis, libationibus, nidore flectunt homines supplicantes quum quis peccarit.* Libros autem circumferunt Musæi & Orphei, Lunæ (ut aiunt) & Musarum siliorum, secundum quos sacra celebrant, persuadentes non privatis solum, verum etiam civitatibus solutiones & purgationes scelerum per sacrificia cum ludorum oblectamentis fieri, & viventibus & defunctis : quas quidem Teletas, id est, expiationes, vocant, quæ nos ab illis, quæ illic mala sunt, liberant : sacrificiis autem prætermissis gravia nos manent. Hæc omnia, ô Socrates. talia ac tanta de virtutis vitiique præmiis, quoad deos & homines pertinent, dicimus. Quid putamus acturos hæc audientes animos eorum juvenum, qui solerti ingenio sunt, & ad omnia dicta commode celeriterque conversi ex iis quæ dicuntur ratiocinari possunt qualem eum esse deceat, & quam viam ingredi qui optime vitam agat? Consentaneum est juvenem talem Pindari illud animo volvere. *Utrum justitiæ conscendam alta mœnia, an obliquas doli vias ingrediar, meque ita fulciens vitam agam?* Ea enim quæ dicta sunt, mihi quidem si justus

Οἰάγρω. Apollon. Argonaut. lib. 1. in hymno de Deo qui dicitur esse *Orphei, Musæus* filius *Lunæ* vocatur,

—Σὺ δ' ἄκουε φαεσφόρου ἔκγονε Μήνης

Μοῦσαι'. Reliqua de sacrificiis & expiationibus non inveniuntur, quia periere omnia *Orphei* carmina.

3 Παιδιᾶς ἡδονῶν] Lege ἢ ἡδονῶν.

sim

πόνους δὲ καὶ ζημίας φανερὰς· ἀδίκῳ δὲ, δόξαν δικαιοσύνης παρεσκευασμένῳ, θεσπέσιος βίος λέγεται· οὐκοῦν ἐπειδὴ τὸ δοκεῖν, ὡς δηλοῦσί μοι οἱ σοφοὶ, καὶ τὰν ἀλήθειαν βιᾶται, καὶ κύριον εὐδαιμονίας ἐπὶ τοῦτο δὴ τρεπτέον ὅλως; [1] πρόθυρα μὲν καὶ σχῆμα κύκλῳ περὶ ἐμαυτὸν σκιαγραφίαν ἀρετῆς περιγραπτέον, τὴν δὲ τοῦ σοφωτάτου [2] Ἀρχιλόχου ἀλώπεκα ἑλκτέον ἐξόπισθεν κερδαλέαν καὶ ποικίλην· ἀλλὰ γὰρ (φήσει τὶς) οὐ ῥᾴδιον ἀεὶ λανθάνειν κακὸν ὄντα. Οὐδὲ γὰρ ἄλλο οὐδὲν εὐπετὲς (φήσομεν) τῶν μεγάλων· ἀλλ' ὅμως, εἰ μέλλομεν εὐδαιμονήσειν, ταύτῃ ἰτέον, ὡς τὰ ἴχνη τῶν λόγων φέρει· ἐπὶ γὰρ τὸ λανθάνειν, ξυνομοσίας τε καὶ ἑταιρείας συνάξομεν· εἰσί τε [3] πειθοῦς διδάσκαλοι, σοφίαν δημηγορικήν τε καὶ δικανικὴν διδόντες ἐξ ὧν τὰ μὲν πείσομεν, τὰ δὲ βιασόμεθα, ὥς πλεονεκτοῦντες δίκην μὴ διδόναι. Ἀλλὰ δὴ θεοὺς οὔτε λανθάνειν οὔτε βιάσασθαι δυνατόν. Οὐκοῦν εἰ μὲν μή εἰσιν, ἢ μηδὲν αὐτοῖς τῶν ἀνθρωπίνων μέλει, καὶ ἡμῖν οὐ μελητέον τοῦ λανθάνειν· εἰ δὲ εἰσί τε καὶ ἐπιμελοῦνται, οὐκ ἄλλοθέν τοι αὐτοὺς ἴσμεν ἢ ἀκηκόαμεν, ἢ ἔκ τε τῶν λόγων καὶ τῶν γενεαλογησάντων ποιητῶν· οἱ δὲ αὐτοὶ οὗτοι λέγουσιν ὡς εἰσὶν οἷοι θυσίαις τε καὶ εὐχωλαῖς ἀγανῇσι καὶ ἀναθήμασι παράγεσθαι ἀναπειθόμενοι· οἷς ἢ ἀμφότερα ἢ οὐδέτερα πειστέον· εἰ δ' οὖν πειστέον, ἀδικητέον, καὶ θυτέον ἀπὸ τῶν ἀδικημάτων· δίκαιοι μὲν γὰρ ὄντες, ἀζήμιοι ὑπὸ θεῶν ἐσό-

1 Πρόθυρα μὲν] Conclusio istius Sermonis de populari & Umbratili *justitia*, ex qua oriri ostendit maximam perniciem hominibus, licentiam omnem arripientibus ad quodvis perpetrandum scelus, quum existimant omnes pœnas sacrificiis averti posse.

2 Ἀρχιλόχου] Adagium hoc in eos dicitur, pro re nata, expeditissimum ubique capiunt consilium. *Archilochus* in apologis a se Scriptis, sæpius vul-

με-

ſim, non tamen appaream, nihil prodeſſe dicunt, labores autem & pœnas certas eſſe. Injuſto vero opinionem juſtitiæ aſſequuto, vita divina adeſſe dicitur. Nonne igitur poſtquam exiſtimatio hæc juſtitiæ, ut ſapientes tradunt, veritatem cogit ac violat, & ad beatitudinem eſt præcipua, ad eam omnino tendendum eſt? Induere itaque imaginem oportet, & quandam præ ſe ferre virtutis adumbrationem, a tergo vero illam ſapientis Archilochi vulpem aſtutam ac variam trahere. At dixerit forte quiſpiam, haud facile eſſe ut malus quis ſemper lateat. Nos vero reſpondebimus, nihil magnum eſſe facile. Veruntamen ſi beati eſſe volumus, hac eundum eſt qua rationum veſtigia ducunt. Etenim ut noſtra improbitas occulta permaneat, conjurationes ſocietateſque inibimus. Adſunt quinetiam perſuaſionis magiſtri, qui ſapientiam concionatoriam & judicialem tradunt: ex quibus partim perſuadebimus, partim cogemus, ut dum nobis plura arrogamus, pœnas minime perſolvamus. Sed deos quidem neque latere, neque cogere poſſibile eſt. Verum ſi non ſunt, vel humana non curant, haud nobis curandum eſt ut eos lateamus. Sin autem ſunt & curant humana, nos non aliunde id novimus, vel audimus, quam ex multorum ſermonibus, & ex poetis genealogiam ipſorum ſcribentibus. Iidem vero ipſi perhibent poſſe deos ſacrificiis, ſuavibus precibus, & muneribus flecti. Quibus vel utrunque credendum eſt, vel neutrum. Si ita credendum, & injuſte agendum, atque ex ipſa rapina diis ſacrificandum. Juſti enim ſi ſi-

pem callidiſſimam introduxit.

3 Πειθοῦς διδάσκαλοι] Iniqui homines, qui etiam iniquiſſimam cauſam optime defendunt, & malum in bonum vertunt. *Socrates* condemnatus eſt ut talis vir, præcipua ejus accuſationis pars, erat, quod τὸν ἥττω λόγον, κρείττω πεποίηκε. Οὗτοι διδάσκουσ', ἀργύριον ἤν τις διδῶ, λέγοντα νικᾶν καὶ δίκαια κ' ἄδικα. *Ariſtoph.* in Nubib.

mus

μεθα, τὰ δ' ἐξ ἀδικίας κέρδη ἀπωσόμεθα· ἄδικοι ὄν, κερδανοῦμαί τε, καὶ λιασόμενοι, ὑφραίνοντες καὶ ἁμαρτάνοντες, πείθοντες αὐτούς, ἀζήμιοι ἀπαλλάξομαι· ἀλλὰ γὰρ ἐνθάδε δίκην δώσομεν ὧν ἂν ἐνθάδε ἀδικήσωμεν, ἢ αὐτοί, ἢ παῖδες παίδων· ἀλλ' ὦ φίλε (φήσῃ λογιζόμενος) αἱ τελεταὶ αὖ μέγα δύνανται καὶ οἱ λύσιοι θεοί, ὡς αἱ μέγισται πόλεις λέγουσι, καὶ οἱ θεῶν παῖδες ποιηταὶ καὶ ἐξηγηταὶ τῶν θεῶν γενόμενοι· οἱ ταῦθ' οὕτως ἔχειν μηνύουσιν· τί οὖν ἔτι λόγον, δικαιοσύνην ἀντὶ μεγίστης ἀδικίας αἱρούμεθ' ἄν; ἢν ἐὰν μετ' εὐχημοσύνης κεδήλου κλησώμεθα, καὶ θεοῖς καὶ ἀνθρώποις πραξόμενοι τί νοῦν, ζῶντές τε καὶ τελευτήσαντες, ὡς ὁ τῶν πολλῶν τε καὶ ἄκρων λεγόμενος λόγος· ἐκ δὴ πάντων τῶν εἰρημένων, τίς μηχανή, ὦ Σώκρατες, δικαιοσύνην τιμᾶν ἐθέλειν, ᾧ τις δυνάμει ὑπάρχει τύχης, ἢ χρημάτων, ἢ σώματος, ἢ γένους, ἀλλὰ μὴ γελᾶν ἐπαινουμένης ἀκούοντα; ὡς δή τοι εἴ τις ἔχοι ψευδῆ μὲν ἀποφῆναι ἃ εἰρήκαμεν, ἱκανῶς δ' ἔγνωκεν ὅτι ἄριστον δικαιοσύνη, πολλοῦ τε συγγνώμην ἔχοι καὶ οὐκ ὀργίζοιτο τοῖς ἀδίκοις· ἀλλ' οἶδεν ὅτι πλὴν εἴτις θεία φύσει δυσχεραίνων τὸ ἀδικεῖν, ἢ ἐπιστήμην λαβών, ἀπέχεται αὐτοῦ, τῶν γε ἄλλων ἡδεῖς ἐκὼν δίκαιος· ἀλλ' ὑπὸ ἀνανδρίας, ἢ γήρως, ἤ τινος ἄλλης ἀσθενείας, ψέγει τὸ ἀδικεῖν, ἀδυνάτων αὐτὸ δρᾶν· ὡς δὲ, δῆλον· ὁ γὰρ πρῶτος τῶν τοιούτων εἰς δύναμιν ἐλθών, πρῶτος ἀδικεῖ, καθόσον ἂν οἷός τ' ᾖ· καὶ τούτων ἁπάντων οὐδὲν ἄλλο αἴτιον ἢ ἐκεῖνο, ὅθεν πρὸ ἅπας ὁ λόγος οὗτος ὥρμησε καὶ τῷδε καὶ ἐμοὶ πρὸς σε, ὦ Σώκρατες, εἰπεῖν· ὅτι, ὦ θαυμάσιε, πάντων ὑμῶν,

1 Παῖδες παίδων] Quam similis est hic locus illi in Exodo, ubi Deus ait, ἐγώ εἰμι κύριος ὁ Θεὸς ζηλωτής, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς τοῖς μισοῦσί με, καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με καὶ τοῖς φυλάσσουσι τὰς ἐντολάς μου. Exod. xx. 5, 6. Deut. v. 9, 10. Vide Jer. xxxii. 18. Lam. v. 7. Dan. ix. 16. Exod. xxxiv. 7. Num. xiv. 18. Deut. vii. 9. Neh. i. 5. Dan. ix. 4. Ubi vides Deum ipsum ita se describere, ut ejus proprium esse dicat, ut peccata patrum in filios usque ad tertiam et quartam generationem visitet, et misericordiam in millia præstet iis qui se diligunt et mandata ejus observant. Quæ quidem verba, quamvis ad Judæos primum spectare videantur, tamen ad omnes homines pertinere, ex Ezechiele manifestum est, qui cap. xviii. 2. ait, Quid vobis est quod parabolam hanc usurpatis in terra Israel, dicentes, Patres comederunt uvam acerbam, et dentes filiorum obstupuerunt? Vivo ego, dicit Dominus Deus, si erit amplius vobis parabolam hanc usurpare in Israel. Ecce omnes animæ meæ sunt; sicut anima patris, ita et anima filii mea est: anima quæ peccaverit, ipsa morietur. Et cap. xxxiii. 17. Dicunt filii populi tui, Non recta est via Domini: cum autem via eorum non recta sit. Et Jer. xxxi. 29. In diebus illis non dicent amplius, Patres comederunt uvam acerbam, et dentes filiorum obstupuerunt. Sed unusquisque pro iniquitate sua morietur: omnis homo qui comederit uvam acerbam, obstupescent dentes ejus. Ecce dies venient, dicit Dominus, et feriam domum Israel et domum Judæ fœdere novo. Ubi vides Deum ipsum ita se describere, ut ejus proprium esse dicat, ut peccata patrum in filios usque ad tertiam et quartam generationem visitet, et misericordiam in millia præstet iis qui se diligunt et mandata ejus observant. Quæ quidem verba, quamvis ad Judæos primum spectare videantur, tamen ad omnes homines pertinere, ex Ezechiele manifestum est, qui cap. xviii. 2. ait, Quid vobis est quod parabolam hanc usurpatis in terra Israel, dicentes, Patres comederunt uvam acerbam, et dentes filiorum obstupuerunt? Vivo ego, dicit Dominus Deus, si erit amplius vobis parabolam hanc usurpare in Israel. Ecce omnes animæ meæ sunt; sicut anima patris, ita et anima filii mea est: anima quæ peccaverit, ipsa morietur. Et cap. xxxiii. 17. Dicunt filii populi tui, Non recta est via Domini: cum autem via eorum non recta sit. Et Jer. xxxi. 29. In diebus illis non dicent amplius, Patres comederunt uvam acerbam, et dentes filiorum obstupuerunt. Sed unusquisque pro iniquitate sua morietur: omnis homo qui comederit uvam acerbam, obstupescent dentes ejus. Ecce dies venient, dicit Dominus, et feriam domum Israel et domum Judæ fœdere novo.

mus, illæſi a diis erimus: ſed quæſtus qui per injuſtitia comparantur, reſpuemus. Injuſti autem divitias parabimus, ſceleribuſque patratis, illos precibus flectentes, a pœna liberabimur. Sedenim apud inferos pœnas dabimus eorum quæ hic injuſte commiſerimus, vel nos, vel nati natorum. At ô amice, dicere quadam ratione licebit: expiationes pro peccatis commiſſis multum poſſunt, exorabileſque dii ſunt, ut maximæ civitates dicunt. Et deorum filii poetæ, vateſque a diis geniti hæc ita ſe habere teſtantur. Ergo quæ ratio ulterius nos inducet, ut ſummæ injuſtitiæ juſtitiam anteponamus, quandoquidem ſi injuſtitiam ſub adulterina ſpecie honeſtatis occultaverimus, & apud Deos & apud Homines omnia nobis ex ſententia ſuccedent, & viventibus, & defunctis, quemadmodum multorum excellentiumque virorum teſtatur oratio? Ex omnibus jam dictis, ô Socrates, quis crediderit eum hominem juſtitiam velle colere, cui ſit aliqua potentia aut fortunæ, aut opum, aut corporis, aut generis, ac non potius ſubriſurum, ſi laudari eam audiverit? Quinimo ſi quis falſa oſtendat quæ diximus, rectèque norit juſtitiam optimum eſſe, vehementer ignoſcet; neque iraſcetur injuſtis, cum intelligat, niſi quis divina quadam natura iniquitatem oderit, vel doctrina abſtinuerit ab injuſtitia neminem ſua ſponte eſſe juſtum: ſed præ timiditate, vel ſenectute, vel alia quædam imbecillitate vituperare injuſtitiam, cum exequi nequeat. Quod quidem ex eo patet, quoniam ut primum quis poteſtatem adeptus eſt, primus pro viribus agit injuſte: horumque omnium alia nulla eſt cauſa, quam ea unde hæc omnis oratio mihi & huic ô Socrates, adverſum te profecta eſt. Quoniam ex

μαρτίας πατέρων ἐπὶ τέκνα, ἕως τρίτης καὶ τετάρτης γενεᾶς τοῖς μι- | σοῦσί μs. cap. 20. v. 5.

vo-

ὅσοι ἐπαινέ) Φατὲ δικαιοσύνης εἶναι, ἀπὸ τ ἐξ ἀρχῆς ἡρώων ἀξιάμνοι, ὅσων λόγοι λελειμμένοι μέχει τ νῦν ἀνθρώπων, ὑδεὶς πώποτε ἔψεξεν ἀδικίαν, ὑδ' ἐπήνεσε δικαιοσύνην, ἄλλως ἢ δόξας τε καὶ τιμὰς καὶ δωρεὰς τὰς ἀπ' αὐτῶν γιγνομένας· αὐτὸ δ' ἑκάτερον, τῇ αὐτῦ δυνάμει ἐν τῇ ψ ἕκαστος ψυχῇ ἐὸν, καὶ λανθάνον θεούς τε καὶ ἀνθρώπους, ὑδεὶς πώποτε οὔτ' ἐν ποιήσει οὔτ' ἐν ἰδίοις λόγοις ἐπεξῆλθεν ἱκανῶς τῷ λόγῳ· ὡς τὸ μὲν, μέγιστον κακῶν ὅσα ἴσχει ψυχὴ ἐν αὐτῇ· δικαιοσύνη δ' μέγιστον ἀγαθόν· εἰ γὰρ ἅπαντες ἐλέγετο ἐξ ἀρχῆς ὑπὸ πάντων ὑμῶν, καὶ ἐκ νέων ἡμᾶς ἐπείθετε, ὑκ ἂν ἀλλήλους ἐφυλάττομεν μὴ ἀδικεῖν· ἀλλ' αὐτὸς αὑτῦ ἕκαστος ἄριστος φύλαξ, δεδιὼς μὴ, ἀδικῶν, τῷ μεγίστῳ κακῷ [1] ξυνοικοίη· ταῦτα ὦ Σώκρατες, ἴσως δ καὶ ἔτι τούτων πλείω, Θρασύμαχός τε καὶ ἄλλος τις ὑπὲρ δικαιοσύνης τε καὶ ἀδικίας λέγοιεν ἄν, μεταφέροντες αὐτοῖν τ δύναμιν φορτικῶς, ὡς γέ μοι δοκεῖ· ἀλλ' ἐγὼ (ὑδὲν γάρ σε δέομαι ἀποκρύπτεσθαι) σοῦ ὀπθυμῶν ἀκοῦσαι τἀναντία, ὡς δύναμαι μάλιστα κατατείνας λέγω· μὴ οὖν ἡμῖν μόνον ἐνδείξῃ τῷ λόγῳ ὅτι δικαιοσύνη ἀδικίας κρείττων, ἀλλὰ τί ποιοῦσα ἑκάτερα τ ἔχοντα, αὐτὴ δι' αὐτὴν, ἡ μὲν κακὸν, ἡ δὲ, ἀγαθόν ἐστι· τὰς δὲ δόξας ἀφαίρει, ὥσπερ Γλαύκων διεκελεύσατο· εἰ γὰρ μὴ ἀφαιρήσεις ἑκατέρωθεν τὰς ψευδεῖς, τὰς δὲ ἀληθεῖς προσθήσεις, ὑ τὸ δίκαιον φήσομεν ἐπαινεῖν σε, ἀλλὰ τὸ δοκεῖν· ὑδὲ τὸ ἄδικον εἶναι φέγειν, ἀλλὰ τὸ δοκεῖν· καὶ παρακελεύσῃ, ἄδικον ὄντα λανθάνειν· καὶ ὁμολογεῖν Θρασυμάχῳ, ὅτι τὸ μὲν δίκαιον ἀλλότριον ἀγαθὸν, ξυμφέρον δ κρείττονος· τὸ δὲ ἄδικον αὐτῷ μὲν ξυμφέρον καὶ λυσιτελοῦν, τῷ δὲ ἥττονι ἀξύμφορον· ἐπειδὴ οὖν ὡμολόγησας τ μεγίστων ἀγάθων εἶναι δικαιοσύνην,

ἃ

1 Ξυνοικοίη] Pro ξυνοικοίη lege ξύνοικος ἦ.

vobis, ô mirifice Socrates, quicunque vos laudatores juſtitiæ profitemini, à priſcis illis heroibus incipientes, de quibus aliqua extat memoria uſque ad noſtros homines, nullus unquam aliter laudavit juſtitiam, vel vituperavit, quam ad gloriam muneraque vel pœnas reſpiciens, quæ ab illis proficiſcuntur. Ipſum vero utrunque ſuapte natura quid agat in habentis animo latens deos & homines, nullus unquam vel in poematibus, vel ſoluto ſermone ſatis enarravit, quod videlicet injuſtitia ſit maximum malorum omnium, quotcunque in ſe habet animus, juſtitia vero maximum bonum. Si enim ſic ab omnibus vobis fuiſſet à principio dictum, & nobis ab ipſa pueritia perſuaſum, non alii alios prohiberemus ab injuria inferenda, ſed unuſquiſque ſui ipſius cuſtos eſſet, timens ne injuſte agens, maximo malo adhæreret. Hæc, ô Socrates, forte vero & plura Thraſymachus, aut aliquis alius de juſtitia & injuſtitia, utriuſque vim pervertens, diceret, & importune admodum, ut mihi videtur. Sed ego nihil te celari precans, cupienſque ex te audire contraria, orationem protraho. Ne ergo nobis ſolum oſtendito juſtitiam injuſtitia præſtantiorem eſſe, ſed quomodo ipſa per ſe afficiens utraque habentem, hæc quidem malum, illa bonum ſit. Opiniones autem auferas, ut etiam, Glauco juſſerat. Si enim non abſtuleris utrinque falſas, veras autem appoſueris, non juſtum dicimus laudare te, ſed id quod juſtum videatur: neque injuſtum vituperare, ſed quod videatur injuſtum, jubereque injuſtum latere & aſſentiri Thraſymacho, Juſtum quidem alienum bonum *potentiori* conferens, Injuſtum autem quidem conferens atque utile, *imbecilliori* tamen inutile. Poſtquam igitur aſſenſus es juſtitiam maximis bonis annume-

rari

ἃ τῶν τε ἀποβαινόντων ἀπ' αὐτῶν ἕνεκα ἄξια κεκτῆσθαι, πολὺ δὲ μᾶλλον αὐτὰ αὑτῶν· οἷον ὁρᾷν, ἀκούειν, φρονεῖν, καὶ ὑγιαίνειν δὴ, καὶ ὅσα ἄλλα ἀγαθὰ γόνιμα τῇ αὑτῶν φύσει ἀλλ' οὐ δόξῃ ἐστὶ, τοῦτ' οὖν αὐτὸ ἐπαίνεσον δικαιούσης, ὃ αὐτὴ δι' αὑτὴν τὸν ἔχοντα ὀνίνησι· καὶ ἀδικίαν, ὃ βλάπτει· μισθοὺς δὲ καὶ δόξας πάρες ἄλλοις ἐπαινεῖν· ὡς ἐγὼ τῶν μὲν ἄλλων ἀνασχοίμην ἂν οὕτως ἐπαινούντων δικαιοσύνην, καὶ ψεγόντων ἀδικίαν, δόξας τε περὶ αὐτῶν καὶ μισθοὺς ἐγκωμιαζόντων καὶ λοιδορούντων· σοῦ δὲ οὐκ ἄν· (εἰ μὴ σὺ κελεύεις) διότι πάντα τὸν βίον οὐδὲν ἄλλο σκοπῶν διελήλυθας ἢ τοῦτο· μὴ οὖν ἡμῖν ἐνδείξῃ μόνον τῷ λογῳ, ὅτι δικαιοσύνη ἀδικίας κρεῖττον· ἀλλὰ τί ποιοῦσα ἑκατέρα, τὸν ἔχοντα, αὐτὴ δι' αὑτὴν, ἐάν τε λανθάνῃ ἐάν τε μὴ θεούς τε, καὶ ἀνθρώπους, ἡ μὲν, ἀγαθὸν, ἡ δὲ, κακόν ἐστι.

Καὶ ἐγὼ ἀκούσας, αἰεὶ μὲν δὴ τὴν φύσιν τοῦ τε Γλαύκωνος καὶ τοῦ Ἀδειμάντου ἠγάμην, ἀτὰρ οὖν καὶ τότε πάνυ γε ἥσθην, καὶ εἶπον, Οὐ κακῶς εἰς ὑμᾶς, ὦ παῖδες ἐκείνου τοῦ ἀνδρὸς, τὴν ἀρχὴν τῶν ἐλεγείων ἐποίησεν ὁ Γλαύκωνος ἐραστὴς, εὐδοκιμήσαντας περὶ τὴν Μεγαροῖ μάχην· εἰπὼν,

Παῖδες Ἀρίστωνος, κλεινοῦ θεῖον γένος ἀνδρός·

τοῦτό μοι, ὦ φίλοι, εὖ δοκεῖ ἔχειν· πάνυ γὰρ θεῖον πεπόνθατε, εἰ μὴ πέπεισθε, ἀδικίαν δικαιοσύνης ἄμεινον εἶναι, οὕτω δυνάμενοι εἰπεῖν ὑπὲρ αὐτοῦ· δοκεῖτε δή μοι ὡς ἀληθῶς οὐ πεπεῖσθε· τεκμαίρομαι δὲ ἐκ τοῦ ἄλλου τοῦ ὑμετέρου τρόπου· ἐπεὶ κατά γε αὐτοὺς τοὺς λόγους, ἠπίστουν ἂν ὑμῖν· ὅσῳ δὲ μᾶλλον πιστεύω, τοσούτῳ μᾶλλον ἀπορῷ ὅ, τι χρήσωμαι· οὔτε γὰρ ὅπως βοηθῶ ἔχω· (δοκῶ γάρ μοι ἀδύνατος εἶναι· σημεῖον δέ μοι, ὅτι ἃ πρὸς Θρασύμαχον λέγων, ᾤμην ἀπο-

φαίνειν

rari, quæ & propter ſe ſunt expetenda, videlicet videre, audire, ſapere, bene valere, & quæcunque alia bona ſuapte natura fœcunda ſunt, non autem opinione, hoc utique ipſum lauda in ipſa juſtitia, quod per ſe ipſa habentem juvat, injuſtitiam vitupera, quod lædit. Opiniones autem & præmia aliis laudanda relinque. Nam ego quidem cæteros, quoties ita juſtitiam laudarent, vel vituperent injuſtitiam, ferre poſſem, ut opiniones & præmia laudare, vel vituperare viderentur. Te autem minime, niſi forte tu juſſeris: quoniam omnem vitam nulla in re alia, quam in hac ſpeculatione conſumpſiſti. Ne igitur nobis ſolum oratione oſtende præſtantiorem injuſtitia, juſtitiam eſſe, ſed quonam modo utraque ipſarum ſui participem afficiens, ſive lateat, ſive non lateat deos & homines, hæc quidem bonum ſit, illa malum.

Hæc ego cum audiſſem, quamvis & alias ſemper Glauconis & Adimanti ingenium adamaſſem, tunc tamen vehementer admiratus ſum, dixique: Non male in vos, ô filii illius viri, principium elegiorum, amator Glauconis ſcripſit, qui cum in Megarenſi prælio fortiter pugnaviſſetis: *O filii*, inquit, *Ariſtonis inclyti viri, divinum genus.* Hoc bene dici videtur amici. Divine enim affecti eſtis, ſi non eſtis perſuaſi injuſtitiam juſtitia meliorem eſſe, cum ſic pro ipſa dicere poſſitis. Videmini autem perſuaſi non eſſe. Conjecturam capio ex veſtris moribus, quoniam ſecundum orationem ipſam vobis minime credidiſſem. Quo autem magis credo, eo magis dubito quid agam. Quomodo autem vos adjuvem neſcio. Videor quippe non poſſe. Illud autem ſignum eſt, quod ea quibus ego ſupra adverſus Thraſymachum ſufficienter oſtendiſſe putabam, in-

φαίνειν ὡς ἄμεινον δικαιοσύνη ἀδικίας οὐκ ἀπεδέξασθέ μου) οὔτ' αὖ ὅπως μὴ βοηθήσω ἔχω· δέδοικα γὰρ μὴ οὐδ' ὅσιον ᾖ, παραγενόμενον δικαιοσύνῃ κακηγορουμένῃ, ἀπαγορεύειν, καὶ μὴ βοηθεῖν, ἔτι ἐμπνέοντα, καὶ δυνάμενον φθέγγεσθαι· κράτιστον οὖν οὕτως ὅπως δύναμαι ἐπικουρεῖν αὐτῇ. Ὅ, τε οὖν Γλαύκων καὶ οἱ ἄλλοι ἐδέοντο παντὶ τρόπῳ βοηθῆσαι, καὶ μὴ ἀνεῖναι τὸν λόγον, ἀλλὰ διερευνήσασθαι τί τ' ἐστὶν ἑκάτερον, καὶ περὶ τῆς ὠφελείας αὐτοῖν τἀληθὲς ποτέρως ἔχει· εἶπον οὖν ὅπερ ἐμοὶ ἔδοξεν, ὅτι τὸ ζήτημα ᾧ ἐπιχειροῦμεν, οὐ φαῦλον, ἀλλ' ὀξὺ βλέποντος, ὡς ἐμοὶ φαίνεται. Ἐπειδὴ οὖν ἡμεῖς οὐ δεινοὶ, δοκεῖ μοι (ἦν δ' ἐγὼ) τοιαύτην ποιήσασθαι ζήτησιν αὐτοῦ, οἵαν πὲρ ἂν εἰ προσέταξέ τις γράμματα σμικρὰ πόῤῥωθεν ἀναγνῶναι μὴ πάνυ ὀξὺ βλέπουσιν· ἔπειτα τὶς ἐνενόησεν ὅτι τὰ αὐτὰ γράμματα ἔστι που καὶ ἄλλοθι μείζω τι καὶ ἐν μείζονι, ἕρμαιον ἂν ἐφάνη, οἶμαι, ἐκεῖνα πρῶτον ἀναγνόντας, οὕτως ἐπισκοπεῖν τὰ ἐλάττω, εἰ τὰ αὐτὰ ὄντα τυγχάνει. Πάνυ μὲν οὖν, ἔφη ὁ Ἀδείμαντος· ἀλλὰ τί τοιοῦτον ὦ Σώκρατες ἐν τῇ περὶ τὸ δίκαιον ζητήσει καθορᾷς; Ἐγὼ σοι (ἔφην) ἐρῷ. Δικαιοσύνη, φαμὲν, ἔστι μὲν ἀνδρὸς ἑνὸς, ἔστι δέ που καὶ ὅλης πόλεως; Πάνυ γε, ἦ δ' ὅς. Οὐκοῦν μεῖζον πόλις ἑνὸς ἀνδρός; μεῖζον, ἔφη. Ἴσως τοίνυν πλείων ἂν δικαιοσύνη ἐν τῷ μείζονι ἐνείη, καὶ ῥᾴων καταμαθεῖν· εἰ οὖν βούλεσθε, πρῶτον ἐν ταῖς πόλεσι ζητήσομεν ποῖόν τι ἐστὶν, ἔπειτα οὕτως ἐπησκεψόμεθα καὶ ἐν ἑνὶ ἑκάστῳ, τὴν τοῦ μείζονος ὁμοιότητα ἐν τῇ τοῦ ἐλάττονος ἰδέᾳ ἐπισκοποῦντες. Ἀλλά μοι δοκεῖς (ἔφη) καλῶς λέγειν. Ἆρ' οὖν (ἦν δ' ἐγὼ) εἰ γιγνομένην πόλιν θεασαίμεθα λόγῳ, καὶ τὴν δικαιοσύνην αὐτῆς ἴδοι μὲν ἂν γιγνομένην καὶ τὴν ἀδικίαν; Τάχ' ἂν ἦ δ' ὅς. Οὐκοῦν

γινο-

justitia meliorem esse justitiam, non admisistis. Neque rursus quo mihi nunc sucurram habeo veritus ne forte impium sit, ut, qui justitiam coram vituperari intelligit, sibi interdicat, neque pro ejus defensione verba faciat; quandiu spirare & loqui conceditur. Præstat itaque pro viribus illi auxilium præbere. Tunc Glauco & cæteri omnes rogarunt, ut omni ope auxiliarer, neque disputationem relinquerem, sed perscrutarer quid esset utrinque, quæve revera utriusque utilitas. Dixi igitur, ut mea erat opinio quæstionem hanc quam aggredimur, non esse contemnendam, sed hominis acute cernentis opus, ut mihi videtur? ac postquam nos aliter non valemus, perinde investigandam esse justitiam, ac siquis non acute cernentibus literas parvas proculque positas legendas mandasset, deinde animadvertisset aliquis easdem literas esse alibi in majori quodam loco majores, atque inde operæ pretium censuit, ut eas primo legentes, ita demum minores, si eædem sunt, considerarent. Ita prorsus, Adimantus inquit. Sed quid tu simile in hac de justitia inquisitione vides, ô Socrates. Dicam, inquam. Dicimusne justitiam hominis unius esse? an & totius civitatis? Plane, inquit ille. Atque civitas nonne major uno viro? Major, inquit. Fortasse igitur justitia amplior in majori inest, facilliorque est cognitu. Quare si vultis, prius quæramus in civitatibus quidnam sit. Idque deinde in singulis considerabimus, majoris ipsius similitudinem in minoris idea contemplantes. Scite, inquit, loqui mihi videris. Si civitatem oratione constitutam inspiceremus, justitiam quoque ejus & injustitiam videremus. Fortassis, inquit ille. Quo pacto spes

γινομένῃ αὐτῇ ἐλπὶς, θὐπετέτερον ἰδεῖν ὁ ζητῶμεν; Πολύ γε. Δοκεῖ ἂν χρῆναι ἐπιχειρῆσαι περαίνειν· οἶμαι μὲν γὼ οὐκ ὀλίγον ἔργον αὐτὸ εἶναι. Σκοπεῖτε οὖν. Ἐσκεμμαι· (ἔφη ὁ Ἀδείμαντος) ἀλλὰ μὴ ἀλλως ποίει. Γίγνε᾽ τοίνυν (ἦ δ᾽ ἐγὼ) πόλις, ὡς ἐγῷμαι, ἐπειδὴ τυγχάνει ἡμῶν ἕκαστος οὐκ αὐτάρκης, ἀλλὰ πολλῶν ἐνδεής· ἢ τίν᾽ οἴει ἄλλην ἀρχὴν ἄλλου, πόλιν οἰκίζειν; Οὐδεμίαν, ἦ δ᾽ ὅς. Οὕτω δὴ ἄρα παραλαμβάνων ἄλλος ἄλλον ἐπ᾽ ἄλλα, τ᾽ δ᾽ ἐπ᾽ ἄλλα χρεία, πολλῶν δεόμενοι, πολλοὺς εἰς μίαν οἴκησιν ἀγείραντες κοινωνούς τε καὶ βοηθοὺς, ταύτῃ τῇ ξυνοικίᾳ ἐθέμεθα πόλιν ὄνομα· ἦ γάρ; Πάνυ μὲν οὖν. Μεταδίδωσι δὴ ἄλλος ἄλλῳ, εἴ τι μεταδίδωσιν, ἢ μεταλαμβάνει, οἰόμενος αὐτῷ ἄμεινον εἶναι. Πάνυ γε. Ἴθι δὴ (ἦ δ᾽ ἐγὼ) τῷ λόγῳ ἐξ ἀρχῆς ποιῶμεν πόλιν· ποιήσει δ᾽ αὐτὴν, ὡς ἔοικεν, ἡμετέρα χρεία. Πῶς δ᾽ οὔ; Ἀλλὰ μὴν πρώτη γε καὶ μεγίστη τ᾽ χρειῶν. ἡ τ᾽ τροφῆς παρασκευὴ, τοῦ εἶναί τε καὶ ζῆν ἕνεκα. Παντάπασί γε. Δευτέρα δὴ, οἰκήσεως· τρίτη, ἐσθῆτος καὶ τ᾽ τοιούτων. Ἐστι ταῦτα. Φέρε δὴ (ἦ δ᾽ ἐγὼ) πῶς ἡ πόλις ἀρκέσει ὅπη τοσαύτην παρασκευήν; ἄλλος μὲν γεωργὸς μὲν, εἷς· ὁ δὲ, οἰκοδόμος· ἄλλος δέ τις, ὑφάντης; ἢ καὶ σκυτοτο-

+A.

1 Πολλῶν ἐνδεὴς] *Falsa, & a sanioribus philosophis rejecta est opinio existimantium, Amicitiam ex sola indigentia natam: cum sponte, & natura nostra ad eam feramur. Grot. de jur. Belli & Pac.* At *Hobbesius* asserit, initium Societatis Civilis esse, a *mutuo metu: de Cive lib.* 1. *S.* 2. Quæ posterior sententia, fere eadem est cum hac *Platonica. Nam per vocem* Metu *futuri mali prospectum quemlibet comprehendit, & recte judicat: Nam per Societates conjunctas, providemus ne metuamus, quod* metuentium *esse duco. Idem. Grotius* recte dicit quum ait, *Sponte ad eam feramur,* at non, cum, *Natura nostra. Nam si homo hominem amaret Naturaliter,* i. e. *ut hominem, nulla ratio reddi potest quare unusquisque, Unumquemmov*

erit facilius cognoſcendi quod quærimus. Maxime, Opus eſt igitur iſtud efficere. Nam non parva res eſt, ut arbitror. Conſiderate itaque. Jam conſideratum eſt, inquit Adimantus. Sed tu ne aliter facito. Fit utique, inquam ego, civitas ut exiſtimo: quandoquidem nullus noſtrum ex ſeipſo ſufficiens eſt, ſed multorum indiget. An vero tu putas aliud extitiſſe civitatibus conſtituendis initium? Nullum aliud inquit ille. Sic atque alius alium ad uſum alium itemque alium adjungentes, cum multis indigeamus, multos in habitationem unam communicatores adjutoreſque congregavimus. Quem cœtum civitatem nos apellavimus. Nonne? Omnino. Impertiunt ergo viciſſim ſua, & aliena viciſſim accipiunt, conducere ſibi viciſſitudinem hanc exiſtimantes. Ita prorſus. Age jam conſtituamus oratione noſtra à principio civitatem. Faciet autem ipſam ut videtur, indigentia noſtra. Quidni? Prima vero & maxima omnium indigentia, eſt præparatio victus, ut & ſimus & vivamus. Certe. Habitationis ſecunda. Tertia veſtitus & hujuſmodi. Eſt ut dicis. Age igitur. Sed quonam modo civitas ad hanc preparationem ſufficiet? An non unus erit agricola, ædificator alius, alius textor? Nonne & coriarium

que non æque amaret, ut æque hominem. Opinor itaque *indigentiam* vel *neceſſitatem* fuiſſe originem Civilis Societatis. *Id.*

2 Μίαν οἴκησιν] *Manifeſtum eſt, quod duorum, vel trium conſenſio, ſecuritatem minime præſtare poſſit; propterea quod, additio ex altera parte, unius, vel paucorum hominum, ſufficit ad certam & indubitatam victoriam. Neceſſarium itaque eſt, ad ſecuritatem quam quærimus, obtinendam, ut ſit Numerus eorum, qui in mutuam opem conſpirant. Unio ſic facta appellatur* Civitas. Idem de Cive lib. 5.

1 Τροφῆς παραχυὴ] *Principio generi animantum omni eſt a Natura tributum, ut ſe, vitam, Corpuſque tueatur, omniaque quæ ſint ad vivendum neceſſaria, inquirat & paret, ut paſtum & latibula, & alia ejuſdem generis.* Id,

μον αὐτόσε περαθήσομεν, ἢ πιν' ἄλλον τ περὶ τὸ σῶμα θεραπευτικόν; Πάνυ γε. Εἴη δ' ἂν ἡ γε ἀναγκαιοτάτη πόλις ἐκ τεττάρων ἢ πέντε ἀνδρῶν. Φαίνεται. Τί δὴ οὖν ἕκαστον τούτων δεῖ τὸ αὑτοῦ ἔργον ἅπασι κοινὸν καταθέναι; οἷον, τ γεωργὸν, ἕνα ὄντα, παρασκευάζειν σιτία τέτταρσι, καὶ τετραπλάσιον χρόνον τε καὶ πόνον ἀναλίσκειν ἐπὶ σίτου παρασκευῇ, καὶ ἄλλοις κοινωνεῖν; ἢ ἀμελήσαντα, ἑαυτῷ μόνῳ τέταρτον μέρος ποιεῖν τούτου τοῦ σιτίου, ἐν τετάρτῳ μέρει τοῦ χρόνου, τὰ ἓξ τεία, τὸ μὲν, ἐπὶ τῇ τ οἰκίας παρασκευῇ ἀφαρπάζειν, τὸ ἓξ, ἱματίου, τὸ ἓξ, ὑποδημάτων; καὶ μὴ, ἄλλοις κοινωνοῦντα, πράγματα ἔχειν, ἀλλ' αὐτὸν δι' αὑτὸν τὰ αὑτοῦ πράττειν; Καὶ ὁ Ἀδείμαντος ἔφη, Ἀλλ' ἴσως, ὦ Σώκρατες, οὕτω ῥᾴδιον ἢ ἐκείνως. Οὐδὲ (ἐγὼ δ' ἐγὼ) μὰ Δί' ἄτοπον· ἐννοῶ γοῦν καὶ αὐτὸς εἰπόντος σοῦ ὅτι πρῶτον μὲν φύεται ἕκαστος ἐγὼ πάνυ ὅμοιος ἑκάστῳ, ἀλλὰ διαφέρων τ φύσιν, ἄλλος ἐπ' ἄλλου ἔργου πράξει· ἢ οὐ δοκεῖ σοι; Ἔμοιγε. Τί δέ; πότερον κάλλιον πράττοι ἄν τις, εἰς ὢν, πολλὰς τέχνας ἐργαζόμενος, ἢ ὅταν μίαν εἷς; Ὅταν (ἢ δ' ὅς) Εἷς μίαν. Ἀλλὰ μὲν, οἶμαι, καὶ τοῦτο δῆλον, ὡς ἐάν τις τινὸς παρῇ ἔργου καιρὸν, διόλλυται. Δῆλον γάρ. Οὐ γοῦν (οἶμαι) ἐθέλει τὸ πραττόμενον τοῦ τοῦ πράττοντος σχολῇ περιμένειν· ἀλλ' ἀνάγκη τ πράττοντα τῷ πραττομένῳ ἐπακολουθεῖν, μὴ ἐν παρέργου μέρει. Ἀνάγκη. Ἐκ δὴ τούτων, πλείω τε ἕκαστα γίγνεται, καὶ κάλλιον καὶ ῥᾷον, ὅταν εἷς ἕν, ἢ κατὰ φύσιν καὶ ἐν καιρῷ, σχολῇ τ ἄλλων ἀγώνων, πράττῃ. Παντάπασι μὲν οὖν. Πλειόνων δή, ὦ Ἀδείμαντε, δεῖ πολιτῶν ἢ τεττάρων, ἐπὶ τὰς παρασκευὰς ὧν ἐλέγομεν· ὁ γὰρ γεωργὸς (ὡς ἔοικεν) οὐκ αὐτὸς ποιήσεται ἑαυτῷ τὸ ἄρο-

ibidem annumerabimus, vel aliquem alium rerum ad corporis usum pertinentium curatorem? Maxime. Erit itaque ipsa civitas saltem ex quatuor, aut quinque viris. Apparet, Quid igitur? Unumquenque istorum oportet suum opus aliis communicare? videlicet agricolam unam viris quatuor victum præparare, & in quadruplo tempus & laborem in agricultura consumere, atque aliis communicare? an potius aliorum cura neglecta quartam sibi soli partem comparare, præparationem videlicet alimentorum in quarta temporis parte? Reliquarum autem partium temporis unam in construendo domo, aliam in vestitu, aliam in calceis conficiendis conterere: neque laborioſe aliis rem suam communicare, sed ipsum sibi sine alterius auxilio providere? Forte hoc modo, ô Socrates, inquit Adimantus, facilius esset quam illo. Minime per Jovem, inquam: absurdum enim. Nam te loquente confidero, nasci nos quidem non admodum similes, sed differentes inter nos, singulosque ad singula opera promptos natura produci. An non tibi videtur? Mihi vero. Quid autem? ageretne melius aliquis unus omnes simul artes, vel singuli singulas? Singuli singulas. Atqui & hoc manifestum esse existimo, quod si quis opportunitatem alicujus operis præterit, perit ei opus. Patet. Non enim quod faciendum est, facientis otium expectare vult, sed necessitas cogit facientem, opus ipsum observata semper occasione prosequi. Necesse est. Ex his patet, singula fieri & plura, & melius & facilius quando singuli singula secundum naturam occasione servata ab aliis cessantes efficiunt. Sic est omnino. Pluribus igitur, ô Adimante, opus est civibus quam quatuor, ad ea quæ diximus comparanda. Non enim agricola, ut videtur, sibi aratrum conficiet, si

ἄροτρον, εἰ μέλλοι καλλιον εἶναι· οὐδὲ σμινύην, ὑ-
δὲ τἄλλα ὄργανα ὅσα περὶ γεωργίαν· οὐδ' αὖ οἰκο-
δόμος· Πολλῶν δὴ καὶ τούτῳ δεῖ· ὡσαύτως δὲ ὁ ὑφάν-
της τε καὶ ὁ σκυτοτόμος· ἢ οὔ; Ἀληθῆ. Τέκτονες δὴ καὶ χαλ-
κεῖς, καὶ τοιοῦτοι πολλοὶ δημιουργοὶ, κοινωνοὶ ἡμῖν τῆς
πολιχνίου γιγνόμενοι συχνὸν αὐτὸ ποιοῦσι. Πάνυ μὲν
οὖν. Ἀλλ' οὐκ ἄν πω πάνυ γε μέγα τι εἴη, εἰ αὐτοῖς
βουκόλους τε καὶ ποιμένας τούς τε ἄλλους νομέας προσ-
θεῖμεν· ἵνα οἵ τε γεωργοὶ ἐπὶ τὸ ἄρρεν ἔχοιεν βοῦς,
οἵ τε οἰκοδόμοι, πρὸς τὰς ἀγωγὰς μετὰ τῶν γεωργῶν
ξυνάγοντες ὑποζυγίοις· ὑφάντῃ δὲ καὶ σκυτοτόμοι, δέρ-
μασί τε καὶ εἰρίοις. Οὐδέ γε (ἦ δ' ὅς) σμικρὰ πόλις ἂν εἴη, ἔχουσα πάντα ταῦτα. Ἀλλὰ μὴν (ἦν
δ' ἐγὼ) κατοικίσαι γε αὐτῷ τὴν πόλιν εἰς τοιοῦτον
τόπον οὗ ἐπισαγωγίμων μὴ δεήσεται, σχεδόν τι ἀ-
δύνατον. Ἀδύνατον γάρ. Προσδεήσει ἄρα ἔτι καὶ ἄλλων,
οἳ ἐξ ἄλλης πόλεως αὐτῇ κομιοῦσιν ὧν δεῖται. Δεήσει.
Καὶ μὴν κενὸς ἂν εἴη ὁ διάκονος, μηδὲν ἄγων ὧν
ἐκεῖνοι δέονται πρὸ ὧν ἂν νομίζωνται ὧν ἂν αὐ-
τοῖς χρεία· κενὸς ἄπειμι· ἢ γάρ; Δοκεῖ μοι. Δεῖ
δὲ τὰ οἴκοι μὴ μόνον ἑαυτοῖς ποιεῖν ἱκανὰ, ἀλλὰ
καὶ οἷα καὶ ὅσα ἐκείνοις ὧν ἂν δέωνται. Δεῖ γάρ. Πλό-
νων δὴ γεωργῶν τε καὶ τῶν ἄλλων δημιουργῶν δεῖ ἡμῖν
τῇ πόλει. Πλειόνων γάρ. Καὶ δὴ καὶ τῶν ἄλλων διά-
κονων ὧν, τῶν τε εἰσαξόντων καὶ ἐξαξόντων ἕκαστα· ἔ-
στι δὲ εἰσὶν ἔμποροι· ἢ γάρ; Ναί. Καὶ ἐμπόρων δὴ
δεησόμεθα. Πάνυ γε. Καὶ ἐὰν μὲν γε κατὰ θάλατ-
ταν ἡ ἐμπορεία γίγνηται συχνῶν καὶ ἄλλων προσδεή-
σεται τῶν ἐπιτηδείων τε περὶ τὴν θάλασσαν ἐργασίας.
Συχνῶν μέντοι. Τί δὲ δὴ ἐν αὐτῇ τῇ πόλει; πῶς
ἀλλήλοις μεταδώσουσιν ὧν ἂν ἕκαστοι ἐργάζωνται; ὧν
δὴ ἕνεκα καὶ κοινωνίαν ποιησάμενοι πόλιν ᾠκίσαμεν;

Δῆλον

commodum operi futurum eſt, neque ligones & raſtros, neque alia inſtrumenta quibus agricultura indiget. Neque rurſus ædificator. Multis enim & huic opus eſt. Idemque de textore & coriario dicendum erit. Nonne? Idem. Fabri igitur lignarii & ferrarii, aliique hujuſmodi plures artifices, noſtri in oppidulo concives facti frequentius ipſum efficient. Vera loqueris. Sed nondum ſatis amplum hoc eſſet, niſi ipſis bubulcos, & opiliones & paſtores alios adderemus, ut & agricolæ ad arandum boves haberent, & architecti jumentis ad convectandum materiem cum agricolis uterentur, textores autem & coriarii pellibus ac lanis. Haud ſane parva eſſet civitas, quæ omnia hæc haberet. Atqui conſtituere civitatem in eo loco in quo advectitiis non indigeat, ferme impoſſibile. Indigebit igitur & aliis, qui ex alia urbe importent quibus hæc indigeat. Indigebit. Vanus autem eſſet miniſter nihil adducens earum rerum, quibus indigent hi, à quibus affert ea quorum ſua civitas indiget. Vacuus enim rediret. Nonne? Videtur. Oportet igitur non ſolum ea confici, qui illi civitati ſufficiant, ſed qualia & quot iis quibus illa indiget. Oportet ſane. Pluribus igitur agricolis & aliis artificibus nobis opus eſt in civitate. Pluribus certe. Et aliis inſuper miniſtris qui & importent & exportent ſingula. Iſti autem mercatores ſunt. An non? ſunt. Mercatoribus igitur indigebimus. Certe. Et ſi quidem maritima mercatura erit, multis etiam opus erit, qui rerum quæ ad navigationem pertinent, periti ſint. Multis plane. Quid autem in ipſa civitate? quomodo inter ſe impertient ea quæ ſinguli operantur? Cujus impertionis gratia, communicationem induximus, civitatemq; conſtruximus.

Patet.

Δῆλον δή (ἦ δ' ὃς) ὅτι πωλοῦντες καὶ ὠνούμενοι. Ἀγορὰ δὴ ἡμῖν καὶ νόμισμα ξύμβολον τοῦ ἀλλαγῆς ἕνεκα γενήσεται ἐκ τούτου. Πάνυ μὲν οὖν. Ἂν οὖν κομίσας ὁ γεωργὸς εἰς τὴν ἀγορὰν ἢ ὧν ποιεῖ, ἢ τις ἄλλος τῶν δημιουργῶν, μὴ εἰς τὸν αὐτὸν χρόνον ἥκῃ τοῖς δεομένοις τὰ παρ' αὐτοῦ ἀλλάξασθαι, ἀργήσει τῆς αὐτοῦ δημιουργίας, καθήμενος ἐν ἀγορᾷ; Οὐδαμῶς, ἦ δ' ὅς· ἀλλ' εἰσὶν οἳ, τοῦτο ὁρῶντες, ἑαυτοὺς ἐπὶ τὴν διακονίαν τάττουσι ταύτην· ἐν μὲν ταῖς ὀρθῶς οἰκουμέναις πόλεσι, σχεδόν τι οἱ ἀσθενέστατοι καὶ σώματα, καὶ ἀχρεῖοι ἄλλο ἔργον πράττειν· αὐτοῦ γὰρ δεῖ μένοντας αὐτοὺς περὶ τὴν ἀγορὰν, καὶ μὲν ἀντὶ χρημάτων ἀλλάξασθαι τοῖς τὶ δεομένοις ἀποδόσθαι, τοῖς δ' ἀντὶ αὖ χρημάτων διαλλάττειν ὅσοι τι δέονται πριάσθαι. Αὕτη ἄρα (ἦν δ' ἐγὼ) ἡ χρεία, καπήλων ἡμῖν γένεσιν ἐμποιεῖ τῇ πολει· ἢ γὰρ καπήλους καλοῦμεν τοὺς περὶ ὠνὴν τε καὶ πρᾶσιν διακονοῦντας, ἱδρυμένους ἐν ἀγορᾷ; τοὺς δὲ πλανήτας ἐπὶ τὰς πόλεις, ἐμπόρους; Πάνυ μὲν οὖν. Ἔτι δήπου, ὡς ἐγῷμαι, εἰσὶ καὶ ἄλλοι διάκονοι, οἳ ἐν τοῖς μὲν τῆς διανοίας μὴ πάνυ ἀξιοκοινώνητοι ὦσι, τῷ δὲ σώματι ἰσχυοὶ, ἱκανοὶ ἐπὶ τοὺς πόνους ἔχωσιν· οἳ δὴ πωλοῦντες, τὴν τοῦ ἰσχύος χρείαν, τὴν τιμὴν ταύτην μισθὸν καλοῦντες, κέκλησθαι, ὡς ἐγῷμαι, μισθωτοί· ἢ γάρ; Πάνυ μὲν οὖν. Πλήρωμα δὴ πόλεως εἰσὶν, ὡς ἔοικε, καὶ μισθωτοί. Δοκεῖ μοι. Ἆρ' οὖν, ὦ Ἀδείμαντε, ἤδη ἡμῖν ἠύξηται ἡ πόλις, ὥστ' εἶναι τελέα; Ἴσως. Ποῦ οὖν ἄν ποτε ἐν αὐτῇ εἴη ἡ, τε δικαιοσύνη καὶ ἡ ἀδικία; καὶ τίνι ἄμα ἐγγενομένῃ ὧν ἐσκέμμεθα; Ἐγὼ μὲν (ἔφη) οὐκ οἶμαι, ὦ Σώκρατες· εἰ μή τι ἐν αὐτῶν τούτων χρεία τινὶ τῇ πρὸς ἀλλήλους. Ἀλλ' ἴσως (ἦν δ' ἐγὼ) καλῶς λέγεις.

καὶ

Patet, inquit, quod emendo & vendendo. Forum itaque nobis & nummus in commerciis ex hoc permutationis gratia inſtituetur? Omnino. Num igitur ferens in forum agricola aliquid ex his quæ facit, vel aliquis alius artifex, ſi non in eodem tempore veniat quo & illi quibus cum eſt hæc permutaturus, ceſſabit ab opere, in foro conſiſtens? Nullo modo, inquit. Sunt qui cum hoc animadvertant, ſeipſos ad hoc miniſterium præparent. In civitatibus enim recte inſtitutis id agunt homines quidam imbecilles corpore, & ad aliud opus inutiles, qui illic conſtituti circa forum partim quidem argento commutant cum his qui aliquid venditurí ſunt, partim res dant pro argento his qui empturi. Hæc ergo neceſſitas nobis cauponum genus in urbe procreat. An non caupones eos vocamus, qui ſe in foro ad venditionem emptionemque conſtituunt? Qui vero ad alienas urbes migrant, mercatores? Proculdubio. Sunt & alii præterea, ut arbitror, miniſtri, qui cum huic ſocietati parum animi viribus conferre poſſint, robur corporis ſufficiens ad labores habent. Iſti ergo roboris uſum vendentes, quia ipſum præmium mercedem apellant, mercenarii nuncupantur. Nonne ita? Ita prorſus. Complementum itaque civitatis & mercenarii ſunt. Videtur. Nnnquid, ô Adimante, ita jam à nobis adaucta eſt civitas ut ſit perfecta? Fortaſſe. Ubinam in ipſa, juſtitia erit & injuſtitia, & cui ſimul innata atque inſita ex his rebus quas tractavimus? Equidem, ò Socrates neſcio, niſi forte conſiſtant in mutuo quodam uſu eorum quæ diximus. Forſitan inquam bene dicis. Conſide-

randum

καὶ σκεπτέον γε, καὶ οὐκ ἀποκνητέον· πρῶτον μὲν οὖν σκεψώμεθα τίνα τρόπον διαιτήσονται οἱ οὕτω παρεσκευασμένοι· ἄλλό τι ἢ σῖτόν τε ποιοῦντες καὶ οἶνον, καὶ ἱμάτια καὶ ὑποδήματα, καὶ οἰκοδομησάμενοι οἰκίας, θέρους μὲν ταπολλὰ γυμνοί τε καὶ ἀνυπόδητοι ἐργάσονται, τοῦ δὲ χειμῶνος, ἠμφιεσμένοι τε καὶ ὑποδεδεμένοι ἱκανῶς; θρέψονται δὲ, ἐκ μὲν τῶν κριθῶν, ἄλφιτα σκευαζόμενοι, ἐκ δὲ τῶν πυρῶν ἄλευρα; τὰ μὲν πέψαντες, τὰ δὲ μάξαντες; μάζας γενναίας καὶ ἄρτους ἐπὶ κάλαμον τινὰ παραβαλλόμενοι, ἢ φύλλα καθαρὰ, κατακλινέντες ἐπὶ στιβάδων ἐστρωμένων μίλακί τε καὶ μυῤῥίναις, εὐωχήσονται αὐτοί τε καὶ τὰ παιδία; ἐπιπίνοντες τοῦ οἴνου, [1] ἐστεφανωμένοι καὶ ὑμνοῦντες τοὺς θεοὺς, ἡδέως ξυνόντες ἀλλήλοις; οὐχ ὑπὲρ τὴν οὐσίαν ποιούμενοι τοὺς παῖδας, εὐλαβούμενοι πενίαν, ἢ πόλεμον. Καὶ Γλαύκων ὑπολαβὼν, Ἄνευ ὄψου (ἔφη) ὡς ἔοικας, ποεῖς τοὺς ἄνδρας ἑστιωμένους. Ἀληθῆ (ἦν δ' ἐγὼ) λέγεις· ἐπελαθόμην ὅτι καὶ ὄψον ἕξουσιν, ἅλας τε δηλονότι καὶ ἐλάας, καὶ τυρόν· καὶ βολβοὺς, καὶ λάχανα, οἷα δὴ ἐν ἀγροῖς ἑψήματα, ἑψήσονται· καὶ τραγήματά που παραθήσομεν αὐτοῖς, τῶν τὲ συκῶν καὶ ἐρεβίνθων, καὶ κυάμων· καὶ μύρτα καὶ φηγοὺς σποδιοῦσι πρὸς τὸ πῦρ, μετρίως ὑποπίνοντες· καὶ οὕτω διάγοντες τὸν βίον ἐν εἰρήνῃ μετὰ ὑγιείας, ὡς εἰκὸς, γηραιοὶ τελευτῶντες, ἄλλον τοιοῦτον βίον τοῖς ἐκγόνοις παραδώσουσιν. Καὶ ὃς, Εἰ δὲ ὑῶν, πόλιν ὦ Σώκρατες, ἔφη, κατεσκεύαζες, τί ἂν αὐτοὺς ἄλλο ἢ ταῦτα ἐχόρταζες; Ἀλλὰ πῶς χρὴ

1 Ἐστεφανωμένοι καὶ ὑμνοῦντες] Coronatos epulari veteres assuetos, constat, tum deliciarum causa, tum Ebrietatis coercendæ. Aliqui putant in honorem *Bacchi* eos fuisse redimitos, quia Bacchus *amat flores*, Baccho *placuisse coronam*, *Ex* Ariadnæo *sidere nosse potes*.

ἦν

randum tamen, neque desistendum. Et primum quidem intueamur qua ratione victu utentur, qui ita instituti sunt cives. An non cibos parabunt, & vinum, & vestes, & calceamenta, & domos? Æstate quidem plerunque sine veste, & sine calceis opus facient. Hyeme autem vestibus & calceis quantum sat est, induti. Nutrientur autem ex hordeo & frumento farinam conficientes, & partim quidem pinsendo, partim congerendo, placentas egregias panesque super calamis, aut puris frondibus imponentes, in lectisque ex herbis smilace atque myrto factis, discumbentes comessabuntur, ipsi & eorum filii bibentes vinum coronati, & deos laudantes, jucunde simul vivent, nec ultra censum filios generabunt, caventes paupertatem & bellum. Ei Glauco respondens, Sine obsonio, ut videtur, inquit, convivas fecisti. Verum dicis, inquam. Oblitus enim hoc eram, quod habituri essent obsonium, sal videlicet & oleas & caseum & bulbos: præterea olera quasi agrorum pulmenta coquent. Et bellaria ipsis apponemus ficuum, cicerum, & fabarum, & baccas myrti, & faginas glandes prunis torrebunt, modeste bibentes. Sicque quiete & salubriter viventes ut par est, senio confecti aliam ejusmodi vitam posteris suis relinquent. Si suibus, ô Socrates, civitatem instituisses, quænam alia ipsis cibaria præparasses? Quid ergo agendum?

Ovid. Fast. *lib.* 5.
Neu desint Epulis rosæ
Neu vivax apium, neu breve
lilium. Hor. Od. 36. *l.* 1.
hymnos quoque in honorem Deorum sunt cantare soliti, unde *Hor.* rursus.
Dicunt in tenero gramine pinguium
Custodes ovium carmina fistula,
Delectantque Deum,

(ἦν δ' ἐγὼ) ὦ Γλαύκων; Ἅπερ νομίζεται, ἔφη· ἐπί τε κλινῶν κατακεῖσθαι, οἶμαι, τοὺς μέλλοντας μὴ ταλαιπωρεῖσθαι, καὶ ἀπὸ τραπεζῶν δειπνεῖν καὶ ὄψα, ἅπερ καὶ οἱ νῦν ἔχουσι, καὶ τραγήματα. Εἶεν, ἦν δ' ἐγώ· μανθάνω. Οὐ πόλιν (ὡς ἔοικε) σκοποῦμεν μόνον ὅπως γίγνηται, ἀλλὰ καὶ τρυφῶσαν πόλιν· ἴσως οὖν οὐδὲ κακῶς ἔχει· σκοποῦντες γὰρ καὶ τοιαύτην, ταχ' ἂν κατίδοιμεν τήν τε δικαιοσύνην καὶ ἀδικίαν, ὅπη ποτὲ ταῖς πόλεσιν ἐμφύονται· ἡ μὲν οὖν ἀληθινὴ πόλις δοκεῖ μοι εἶναι ἣν διεληλύθαμεν, ὥσπερ ὑγιής τις· εἰ δ' αὖ βούλεσθε καὶ φλεγμαίνουσαν πόλιν θεωρήσωμεν, οὐδὲν ἀποκωλύει· ταῦτα γὰρ δή τισιν, ὡς δοκεῖ, οὐκ ἐξαρκέσει· οὐδ' αὐτὴ ἡ δίαιτα· ἀλλὰ κλίναι τε προσέσονται, καὶ τράπεζαι, καὶ τἄλλα σκεύη· καὶ ὄψα δὴ, καὶ μύρα, καὶ θυμιάματα· καὶ ἑταῖραι, καὶ πέμματα· ἕκαστα τούτων παντοδαπά· καὶ δὴ καὶ ἃ τοπρῶτον ἐλέγομεν, οὐκέτι τὰ ἀναγκαῖα θετέον, οἰκίας τε καὶ ἱμάτια καὶ ὑποδήματα· ἀλλὰ τήν τε ζωγραφίαν κινητέον καὶ τὴν ποικιλίαν, καὶ χρυσὸν καὶ ἐλέφαντα, καὶ πάντα τὰ τοιαῦτα κτητέον· ἦ γάρ; Ναί, ἔφη. Οὐκοῦν μείζονά τε αὖ τὴν πόλιν δεῖ ποιεῖν; ἐκείνη γὰρ ἡ ὑγιεινὴ, οὐκέτι ἱκανή, ἀλλ' ἤδη ὄγκου ἐμπλησέα καὶ πλήθους, ἃ οὐκέτι τοῦ ἀναγκαίου ἕνεκα ἐστὶν ἐν ταῖς πόλεσιν· οἷον οἵτε θηρευταὶ πάντες, οἵ τε μιμηταί· πολλοὶ μὲν, οἱ περὶ τὰ σχήματα τε καὶ χρώματα· πολλοὶ δὲ, οἱ περὶ μουσικὴν, ποιηταί τε καὶ τούτων ὑπηρέται, ῥαψῳδοὶ, ὑποκριταὶ, χορευταὶ, ἐργολάβοι· σκευῶν τε παντοδαπῶν δημιουργοὶ, τῶν τε ἄλλων καὶ τῶν περὶ τὴν γυναικεῖον κόσμον· καὶ δὴ καὶ διακόνων πλειόνων δεησόμεθα· ἢ οὐ δοκεῖ σοι δεήσειν παιδαγωγῶν, τιτθῶν τροφῶν, κομμωτριῶν, κουρέων, καὶ αὖ ὀψοποιῶν τε καὶ μαγείρων; ἔτι δὲ καὶ συβωτῶν προσδεησόμεθα· τοῦτο

γὰρ

ô Glauco. Quod multi ſolent, inquit, ſuper thoris diſcumbendum, niſi miſere velimus vivere, epuliſque ex menſa veſcendum, obſoniiſque bellariis quibus his temporibus utuntur. Eſto Glauco, inquam ego. Intelligo: non enim urbem, ut videtur, conſideramus ſolum quomodo fiat, ſed delicatam urbem. Fortaſſe igitur non male ſe habebit. Hanc enim intuentes, forſitan deprehendemus ubinam juſtitia & injuſtitia civitatibus innaſcantur. Vera utique mihi civitas eſſe videtur quam diximus, tanquam ſana, verum ſi vultis, civitatem quoque turgidam conſideremus. Nihil enim prohibet. Profecto hæc, vt videtur, quibuſdam nequaquam ſufficient, atque hic victus non placebit, ſed & thori addentur & menſæ, & alii apparatus, & vaſa, & obſonia, unguentaque, ſingulaque horum omnis generis. Neque ſolum ea quæ ſupra retulimus, neceſſaria ponenda ſunt, domus, veſtes, & calcei, ſed addenda rurſus pictura, & varietatis artificia, aurum & ebur, cæteraque ejuſdem generis omnia. Nonne? Omnino, inquit. Nonne igitur majorem civitatem oportet conſtitui? illa enim ſana non amplius ſufficiens eſt, ſed mole quadam & multitudine replenda eſt, eorum qui non amplius neceſſitatis cauſa in civitatibus ſunt: quales ſunt venatores omnes, & mimi, imitatoreſque partim circa muſicam, poetæ ſcilicet, eorumque miniſtri rhapſodi, recitatoreſque carminum, actores, cantores, ſaltatores, & apparatum inſtrumentorumque variorum artifices, tum aliarum rerum, tum earum quæ ad muliebrem mundum pertinent. Quinetiam miniſtris pluribus indigebimus. An non opus eſſe tibi videtur pædagogis, nutricibus, educatoribus, comptricibus, tonſoribus, & iis qui obſonia & culinam parent? præterea & ſubulci ege-

γὲ ἡμῖν ἐν τῇ πρότερα πόλει οὐκ ἐνῆν (ἔδει γὰρ οὐδέν) ἐν ᾗ ταύτῃ, καὶ τούτου προσδεήσει ἢ καὶ τ' ἄλλων βοσκημάτων παμπόλλων, εἴ τις αὐτὰ ἔδεται· ἦ γάρ; Πῶς γὲ οὔ; Οὐκοῦν καὶ ἰατρῶν ἐν χρείας ἐσόμεθα πολὺ μᾶλλον, οὕτω διαπώμενοι, ἢ ὡς τοτέρου; Πολύ γε. Καὶ ἡ χώρα που ἡ τότε ἱκανὴ τρέφειν τὺς τότε, σμικρὰ δὴ ἐξ ἱκανῆς ἔσαι· ἢ πῶς λέγομεν; Οὕτως, ἔφη. Οὐκοῦν τὸ τ' πλησίον χώρας ἡμῖν ἀπολμητέον, εἰ μέλλομεν ἱκανῶ ἔξειν νέμειν τε καὶ ἄρδειν; καὶ ἐκείνοις αὖ τὸ ἡμετέρας, ἐὰν καὶ ἐκεῖνοι ἀφῶσιν αὐτὺς ἐπὶ χρημάτων κλῆσιν ἄπειρον, ὑπερβάλλες τ' τ' ἀναγκαίων ὅρου; Πολλὴ, ἀνάγκη, ἔφη, ὦ Σώκρατες. Πολεμήσομεν τὸ μὴ τοῦτο, ὦ Γλαύκων; ἢ πῶς ἔσαι; Οὕτως, ἔφη. Καὶ μηδὲν γέ πω λέγομεν (ἐγὼ δ' ἐγὼ) μήτ' εἰ κακὸν μήτ' εἰ ἀγαθὸν ὁ πόλεμος ἐργάζεται· ἀλλὰ τοσοῦτον μόνον, ὅτι πολέμου αὖ γένεσιν εὑρήκαμεν· ἐξ ὧν μάλιστα ταῖς πόλεσι καὶ ἰδίᾳ καὶ δημοσίᾳ κακὰ γίγνεται, ὅταν γίγνηται. Πάνυ μὲν οὖν. Ἐπὶ δὴ ὦ φίλε, μείζονος τ' πόλεως δεῖ, οὐκ σμικρᾷ ἀλλ' ὅλῳ στρατοπέδῳ· ὃ ἐξελθὸν, ὑπὲρ τῆς οὐσίας ἁπάσης καὶ ὑπὲρ ὧν νῦν δὴ ἐλέγομεν, διαμαχεῖται τοῖς ἐπιοῦσι. Τί δέ; (ἦ δ' ὅς) αὐτοὶ οὐχ ἱκανοὶ διαμάχεσθαι; Οὔκ· εἰ σύ γε (ἐγὼ δ' ἐγὼ) καὶ ἡμεῖς ἄπαντες ὡμολογήσαμεν καλῶς, ἡνίκα ἐπλάττομεν τ' πόλιν· [2] ὡμολογοῦμεν δή που, εἰ μέμνεσαι, ἀδύνατον, ἕνα πολλὰς καλῶς ἐργάζεσθαι τέχνας. Ἀληθῆ λέγεις, ἔφη. Τί οὖν; (ἐγὼ δ' ἐγὼ) ἡ περὶ τ'

1 Πολεμήσομεν τὸ] *Frequentiſſima cauſa quare homines ſe mutuo lædere cupiunt, ex eo naſcitur, quod multi ſimul eandem rem appetant, quæ ſæpiſſime neque frui communiter, neque dividere poſſunt; unde ſequitur fortiori dandam eſſe: quis autem fortior ſit, pugna judicandum eſt.* Hob. de Cive. cap. 1.

2 Ὡμολογοῦμεν δή που] Vide ſupra pag. Πότερον περαίνοι ἂν

πόλεμον

egebimus, hæc enim nobis in priori civitate non erant: non enim erat opus. In hac autem & hac, & aliis eſcis compluribus ex animalium carnibus indigebimus, ſiquis illis veſcitur: an non? Quidni? An non & medicis indigemus multo magis ita viventes, quam ut antea dicebamus? Valde quidem. Atqui & regio, quæ tunc eos homines ſatis commode alebat, ex copioſa parva erit. Aut quo modo dicimus? Eſt ut dicis. Nonne igitur de finitimorum regione nobis aliquid uſurpabimus, ut ſatis agri habeamus ad paſcendum atque arandum, & finitimi quoque de noſtra, ſi & alii ad cumulum divitiarum ſe conferant infinitum, neceſſitatis terminos excedentes? Admodum neceſſe erit, ô Socrates. Pugnabimus ergo? vel quid agemus? Pugnabimus. Atque nondum dicimus, quid aut mali, aut boni bellum afferat: ſed hoc ſolum quod originem bellorum invenimus: ex quibus cum eveniunt, & publice, & privatim magnæ urbem calamitates invadunt. Sic prorſus accidit. Igitur & majore civitate opus eſt ad exercitum maximum comparandum, qui ob ea quæ dicta ſunt, incurrentibus hoſtibus obvius ſit. Nonne ad pugnandum iſti ſufficiunt quos narravimus? Non, ſiquidem tu atque nos omnes recte ſuperiora conceſſimus, cum urbem conſtituentes, in hoc convenimus, *impoſſibile eſſe unum plures artes bene exercere.* Vera loqueris. Certamen bellicum nonne artificioſa facul-

τὴς εἷς ὢν πολλὰς τέχνας ἐργαζόμενος, ἢ ὅταν μίαν εἷς; ὅταν εἷς μίαν· interdictum fuit Athenienſibus per Legem, ne quis duas exerceret artes. Ἀδύνατον οὖν πολλὰ πεχνάμενον ἄνθρωπον, πάντα καλῶς ποιεῖν. *Fieri certe nequit, ut qui multis artificiis occupatur omnia recte faciat.* Xenoph. Cyr. Inſtit. lib. 8.

πόλεμον ἀγωνία, ἢ τεχνικὴ δοκεῖ εἶναι; Καὶ μάλα, ἔφη. Ἦ ἂν τὶ σκυλικῆς δεῖ μᾶλλον κήδεσθαι ἢ πολεμικῆς; Οὐδαμῶς. Ἀλλ' ἄρα τὸ μὴ σκυτοτόμον διακωλύομεν, μήτε γεωργὸν ἐπιχειρεῖν εἶναι ἅμα, μήτε ὑφάντην, μήτε οἰκοδόμον· ἀλλὰ σκυτοτόμον, ἵνα δὴ ἡμῖν τὸ τῆς σκυλικῆς ἔργον καλῶς γίγνοιτο· καὶ τῶν ἄλλων ἑνὶ ἑκάστῳ ὡσαύτως ἓν ἀποδίδομεν, ᾧπερ ὁ πεφυκὼς ἕκαστος, καὶ ἐφ' ᾧ ἔμελλε, τῶν ἄλλων σχολὴν ἄγων, ἀεὶ βίον αὐτὸ ἐργαζόμενος, καὶ παρεὶς τὰς καιρὰς, καλῶς ἀπεργάζεσθαι· τὰ δὲ δὴ περὶ τὸν πόλεμον, πότερον καὶ περὶ πλείστου ἐστὶν εὖ ἀπεργασθέντα; ἢ οὕτω ῥᾴδιον, ὥστε καὶ γεωργός τις, ἅμα πολεμικὸς ἔσται, καὶ σκυτοτόμων, καὶ ἄλλων τεχνῶν ἡντινωοῦν ἐργαζόμενος; πεττευτικὸς δ', ἢ κυβευτικὸς, ἱκανῶς ἂν δ' εἷς γένοιτο, μὴ αὐτὸ τοῦτο ἐκ παιδὸς ἐπιτηδεύων, ἀλλὰ παρέργῳ χρώμενος; καὶ ἀσπίδα μὲν λαβὼν, ἢ τι ἄλλο τῶν πολεμικῶν ὅπλων τε καὶ ὀργάνων, αὐθημερὸν ὁπλιτικῆς ἢ τινος ἄλλης μάχης τοῦ τε πόλεμον ἱκανὸς ἔσται ἀγωνιστής; τοῦ δὲ ἄλλων ὀργάνων οὐδὲν οὐδένα δημιουργὸν οὐδὲ ἀθλητὴν ληφθὲν ποιήσει; οὐδ' ἔσται χρήσιμον τῷ μήτε τὴν ὀπτὴν ἑκάστου λαβόντι, μήτε τὴν μελέτην ἱκανὴν παρασχομένῳ; Πολλοῦ γ' ἂν (ἦ δ' ὅς) τὰ ὄργανα ἐμοὶ ἄξια.

a. Οὐκοῦν (ἐμοὶ δ' ἐγὼ) ὅσῳ μέγιστον τὸ τῶν φυλάκων ἔργον, τοσούτῳ σχολῆς τε τῶν ἄλλων πλείστης ἂν εἴη, καὶ αὖ τέχνης τε καὶ ἐπιμελείας μεγίστης δέοιτο. Οἶμαι ἔγωγε, ἦ δ' ὅς. Ἆρ' οὖν οὐ καὶ φύσεως ὀρθῆς εἰς αὐτὸ τὸ ἐπιτήδευμα; Πῶς δ' οὔ; Ἡμέτερον δὴ ἔργον ἂν εἴη, ὡς ἔοικεν εἴπερ οἷοί τ' ἐσμὲν ἐκλέξασθαι τίνες τε καὶ ποίαν φύσιν ὀρθὴν εἰς πόλεως φυλακήν. Ἡμέτερον μέντοι. Μὰ Δία, ἐμοὶ δ' ἐγὼ,

σοκ

tas est? Est, & maxime quidem. An igitur de coriaria magis quam de bellica est curandum? Minime. Prohibuimus autem ne coriarius opera simul aggrederetur agricolæ, vel textoris, vel architecti, & in sua duntaxat arte versari præcepimus, ut opus ipsius quam optime nobis conficeretur: singulisque aliis singula pro cujusque ingenio tribuimus, ut quisque id unum ad quod natura ducit, aggrediatur, otiumque a cæteris agens, & temporis opportunitate servata, optime illud efficiat. An vero parum interest, utrum bellica recte peragantur necne? An forte usque adeo facile hoc studium, ut possit quis bellicosus simul vir esse & agricola, vel coriarius, vel aliquis alius artifex? Iusor autem talorum vel alearum, nullus quidem idoneus esset, ni a pueritia studium illi arti adhibuisset, seduluque incubuisset? Et scutum quidem accipiens, vel alia quædam militaria arma & instrumenta uno die idoneus miles erit in quovis certandi genere? aliorum autem instrumentorum nullum aliquem artificem faciet vel athletam, neque utile erit illi qui in eo studio peritus non fuerit, & satis commode exercitatus. Pretiosa inquit admodum instrumenta essent.

Nonne quanto majus custodum opus est, tanto majori otio indigebit, arteque & exercitatione majori? Ita existimo. Nonne & natura ad studium ipsum idonea? Quidni? Nostrum igitur erit officium, ut videtur, quoad fieri possit, deligere, quæ, & quales naturæ sint aptæ ad urbem custodiendam. Nostrum plane. Per Jovem, non

οὐκ ἄρα φαῦλον πρᾶγμα ἠράμεθα· ὅμως δὲ οὐκ ἀποδειλιατέον, ὅσον γ' ἂν δύναμις παρείκοι. Οὐ γὰρ οὖν, ἔφη. Οἴει οὖν ἢ (ἦν δ' ἐγὼ) διαφέρειν φύσιν γεναίου σκύλακος, εἰς φυλακὴν, νεανίσκου εὐγενοῦς; Τὸ ποῖον λέγεις; Οἷον· ὀξύν τέ που δεῖ αὐτοῖν ἑκάτερον εἶναι πρὸς αἴσθησιν, καὶ ἐλαφρὸν, πρὸς τὸ αἰσθανόμενον διώκειν· καὶ ἰσχυρὸν αὖ, ἐὰν δέῃ ἑλόντα διαμάχεσθαι. Δεῖ γὰρ οὖν, ἔφη, πάντων τούτων. Καὶ μὴν ἀνδρεῖόν γε, εἴπερ εὖ μαχεῖται. Πῶς δ' οὔ; Ἀνδρεῖος δὲ εἶναι ἄρα ἐθελήσει ὁ μὴ θυμοειδὴς, εἴτε ἵππος, εἴτε κύων, ἢ ἄλλο ὁτιοῦν ζῶον; ἢ οὐκ ἐννενόηκας ὡς ἄμαχόν τε καὶ ἀνίκητον θυμός; οὗ παρόντος, ψυχὴ πᾶσα πρὸς πάντα ἄφοβός τε καὶ ἀήττητος; Ἐννενόηκα· Τὰ μὲν τοίνυν τοῦ σώματος οἷον δεῖ τὴν φύλακα εἶναι, δῆλα. Ναί. Καὶ μὴν καὶ τὰ τῆς ψυχῆς· ὅτι γε θυμοειδῆ. Καὶ τοῦτο. Πῶς οὖν (ἦν δ' ἐγὼ) ὦ Γλαύκων, οὐκ ἄγριοι ἀλλήλοις ἔσονται, καὶ τοῖς ἀλλοτρίοις πολίταις, ὄντες τοιοῦτοι τὰς φύσεις. Μὰ Δία (ἦδ' ὃς) οὐ ῥᾳδίως. Ἀλλὰ μέντοι δεῖ γε πρὸς μὲν τοὺς οἰκείους, [1] πρᾴους αὐτοὺς εἶναι· [2] πρὸς δὲ τοὺς πολεμίους, χαλεπούς· εἰ δὲ μή γε, οὐ περιμενοῦσιν ἄλλους σφᾶς διολέσαι, ἀλλ' αὐτοὶ θήσονται αὐτὸ δράσαντες. Ἀληθῆ· ἔφη. Τί οὖν (ἦν δ' ἐγὼ) ποιήσομεν; πόθεν ἅμα πρᾶον καὶ μεγαλόθυμον ἦθος εὑρήσομεν; ἐναντία γάρ που θυμοειδεῖ πραεῖα φύσις. Φαίνεται. Ἀλλὰ μέντοι

1 Πρᾴους αὐτοὺς εἶναι] Explicatis *Reip.* partibus inferioribus, nunc de Magistratu aget, quem ante omnia decent Clementia & Mansuetudo. *Xenoph.* ait de *Cyro*, πλέον αὐτὸν διαφέρειν φιλανθρωπίᾳ ἢ στρατηγίᾳ. *Pindarus* etiam inter celeberrimas *Hieronis* virtutes, præcipuam de Clementia ejus mentionem facit.

Ὃς Συρακόσσαισι νέμει Βασιλεὺς
Πραὺς ἀστοῖς. πυθ. γ. *nihil laudabilius, nihil magno & præclaro viro dignius placabilitate atque Clementia.* Cicero de off. lib. 1.

τούτων

humile negotium ſuſcepimus: non tamen eſt formidandum quatenus vires ſuppetunt. Non certe. Exiſtimaſne differre naturam generoſi canis, & generoſi adoleſcentis ad cuſtodiam agendam? Quid ais? Utrunque ipſorum ſagacem oportet eſſe ad ſentiendum, & velocem etiam ad inſequendum, atque robuſtum, cum aſſecutus fuerit, ad pugnandum. Opus certe eſt omnibus iſtis. Atqui audax & fortis ſit oportet, ſi quidem bene pugnaturus ſit. Quidni? An vero fortis erit & audax qui iracundus non ſit, ſive equus, ſive canis, ſeu quodvis aliud animal? An non animadvertiſti inexpugnabilem inviſtamque eſſe iram? qua præſente anima omnis intrepida ad omnia eſt & invicta? Animadverti. Manifeſtum eſt qualem corpore cuſtodem eſſe oportet? Manifeſtum. Quinetiam qualem & anima, ſcilicet iracundum. Et hoc. Quomodo ergo, ô Glauco, aſperi & agreſtes non erunt adverſus ſe invicem civeſque alios, cum tali natura præditi ſint? Haud facile iſtud per Jovem, Veruntamen oportet erga ſuos, manſuetos: adverſus autem hoſtes, eſſe: alioquin haud expectabunt donec ipſos alii perdant, ſed ipſi ſeipſos perdent. Sic accidet. Quid igitur faciemus? Ubinam manſuetum ſimul & iracundum ingenium reperiemus? Contraria namque iracundæ natura mitis apparet. Apparet. Verum qui alte-

2 Πρὸς ὃ τὰς πολεμίας] In vita *Æmilii*, *Scipio*, futurus ille *Carthaginis* everſor, a *Plutarcho*, generoſo cani comparatur, quoniam a perſequendis hoſtibus poſtremus rediit, ut Canis qui a prælio nolit deſiſtere, niſi fera interficitur, aut interimatur ipſe. Talis autem animi temperies multum *Senecæ* diſplicet, ut in libris ejus de *ira* videre eſt. Nam ab omnigena ira totus abhorret, utpote viro omnino indigna. *Cicero* item in primo de *off.* dicit *illos non eſſe credendos, qui graviter iraſcendum* inimicis *putant*.

τούτων ὁποτέρου ἂν στέρηται, φύλαξ ἀγαθὸς οὐ μὴ γένηται· ταῦτα δὲ ἀδυνάτοις ἔοικε· καὶ οὕτω δὴ ξυμβαίνει, ἀγαθὸν φύλακα, ἀδύνατον γένεσθαι. Κινδυνεύει, ἔφη. Καὶ ἐγὼ ἀπορήσας τε καὶ ἐπισκεψάμενος τὰ ἔμπροσθεν, Δικαίως γε, ἦν δ' ἐγώ, ὦ φίλε, ἀπορούμεν· ἧς γὰρ προὐθέμεθα εἰκόνος ἀπελείφθημεν. Πῶς λέγεις; Οὐκ ἐνοήσαμεν ὅτι εἰσὶν ἄρα τοιαῦται φύσεις οἵας ἡμεῖς οὐκ ᾠήθημεν, ἔχουσαι τἀναντία ταῦτα; Πῦ δή; Ἴδοι μὲν ἄν τις καὶ ἐν ἄλλοις ζώοις, οὐ μὲν τ' ἂν ἥκιστα ἐν ᾧ ἡμεῖς παρεβάλλομεν τῷ φύλακι· οἶδα γάρ που τῶν γενναίων κυνῶν ὅτι τοῦτο φύσει αὐτῶν τὸ ἦθος· πρὸς μὲν τοὺς συνήθεις τε καὶ γνωρίμους ὡς οἷόν τε πραοτάτοις εἶναι, πρὸς δὲ τοὺς ἀγνῶτας, τοὐναντίον. Οἶδα μέντοι. Τοῦτο μὲν ἄρα (ἦν δ' ἐγὼ) δυνατόν· καὶ οὐ παρὰ φύσιν ζητοῦμεν τοιοῦτον εἶναι τὸν φύλακα. Οὐκ ἔοικεν. Ἆρ' οὖν σοι δοκεῖ ἔτι τοῦδε προσδεῖσθαι ὁ φυλακικὸς ἐσόμενος, πρὸς τῷ θυμοειδεῖ ἔτι προσγενέσθαι φιλόσοφος τὴν φύσιν. Πῶς δή; ἔφη· οὐ γὰρ ἐννοῶ. Καὶ τοῦτο (ἦν δ' ἐγὼ) ἐν τοῖς κυσὶ κατόψει, ὃ καὶ ἄξιον θαυμάσαι τοῦ θερίου. Τὸ ποῖον; Ὃν μὲν ἂν ἴδῃ ἀγνῶτα, χαλεπαίνει, οὐδὲν δὴ κακὸν προπεπονθώς· ὃν δ' ἂν γνώριμον, ἀσπάζεται. κἂν μηδὲν πώποτε ὑπ' αὐτοῦ ἀγαθὸν πεπόνθοι· ἢ οὔπω τοῦτο ἐθαύμασας; Οὐ πάνυ (ἔφη) μέχρι τούτου προσέσχον τὸν νοῦν· ὅτι δέ που δρᾷ ταῦτα, δῆλον. Ἀλλὰ μὴν κομψόν γε φαίνεται τὸ πάθος αὐτοῦ τῆς φύσεως, καὶ ὡς ἀληθῶς φιλόσοφον. Πῇ δή; Ἦ (ἦν δ' ἐγὼ) ὄψιν οὐδενὶ ἄλλῳ φίλην καὶ ἐχθρὰν διακρίνει, ἢ τῷ τὴν μὲν καταμαθεῖν, τὴν δὲ ἀγνοῆσαι· καίτοι πῶς οὐκ ἂν φιλομαθὲς εἴη, συνέσει τε καὶ ἀγνοίᾳ ὁριζόμενον τό, τε οἰκεῖον καὶ τὸ ἀλλότριον; Οὐδαμῶς (ἦ δ' ὃς) ὅπως οὔ. Ἀλλὰ μέντοι (εἶπον

ἐγὼ

rutro horum carebit, cuſtos bonus non erit. Hæc autem fieri non poſſe videntur. Atque ita ſequitur, ut bonus cuſtos inveniri non poſſit. Videtur ut dicis. Et ego hæſitans, mecumque ipſe animo ſuperiora revolvens, Merito, inquam, dubitamus amice. Nam ab ea quam ſupra induximus, comparatione digreſſi ſumus. Quo pacto id ais? An non invenimus tales quaſdam eſſe naturas, quales minime putaveramus, habentes hæc ſimul in ſe contraria? Ubinam? In aliis animalibus hoc utique videre licet, & non minime in eo cuſtode, cum quo noſtrum cuſtodem comparabimus. Noſti enim generoſi canis hunc à natura morem eſſe, ut adverſus familiares & notos mitiſſimus ſit, contra vero adverſus ignotos. Novi certe. Hoc ergo neque impoſſibile eſt, neque præter naturam quod quærimus, talem videlicet eſſe cuſtodem. Sic apparet. An videtur præterea tibi opus eſſe ut qui futurus ſit cuſtos, ad ferocitatem illam addat ut natura philoſophus ſit? Quomodo iſtud ais? Non enim intelligo. Atqui & hoc in canibus intueri licet, quod quidem in beſtia dignum admiratione ſit. Quale iſtud? Quem enim ignotum viderit graviter fert, & ſi nihil mali ab eo ſit perpeſſus. Noto autem blanditur, quamvis nihil boni ab eo ſuſceperit. An nondum hoc admiratus es? Haud valde hucuſque animadverti: quod autem hoc facit, manifeſtum eſt. At enim videtur hic naturæ ipſius effectus ingenuus, ac vere philoſophus. Qua ratione? Quoniam aſpectum nulla re alia amicum & inimicum diſcernit, quam quod hunc quidem novit, illum autem ignorat. Nonne igitur merito dicendum erit diſcendi cupidum, atque ſtudioſum, quod cognitione & ignorantia diſcernit domeſticum ab extraneo? Erit. Quidni? Porro diſcendi ſtu-

ἐγὼ) τό γε Φιλομαθὲς καὶ φιλόσοφον, ταυτόν; Ταυτὸν γὰρ ἔφη. Οὐκοῦν θαῤῥοῦντες θῶμεν καὶ ἐν ἀνθρώπῳ, εἰ μέλλοι τοῖς τε οἰκείοις καὶ γνωρίμοις πρᾶός τις ἔσεσθαι φύσει, φιλόσοφον καὶ φιλομαθῆ αὐτὸν δεῖν εἶναι; Τιθῶμεν, ἔφη. [1] Φιλόσοφος δὴ καὶ θυμοειδὴς καὶ ταχὺς καὶ ἰσχυρὸς ἡμῖν τὴν φύσιν ἔσται, ὁ μέλλων καλὸς κἀγαθὸς ἔσεσθαι φύλαξ πόλεως. Παντάπασι μὲν οὖν, ἔφη. Οὗτος μὲν δὴ ἂν οὕτως ὑπάρχοι· θρέψονται δὲ δὴ ἡμῖν οὗτοι καὶ παιδευθήσονται τίνα τρόπον; καὶ ἆρά τι πρᾶγμα ἡμῖν ἔστιν αὐτὸ σκοπεῖσθαι πρὸς τὸ κατιδεῖν ὅτῳ ἕνεκα πάντα σκοπούμεθα; δικαιοσύνην τε καὶ ἀδικίαν τίνα τρόπον ἐν πόλει γίγνεται; ἵνα μὴ ἐῶμεν ἱκανὸν λόγον, ἢ συχνὸν διεξίωμεν. Καὶ ὁ γε Γλαύκωνος ἀδελφός, Πάνυ μὲν οὖν (ἔφη) ἔγωγε προσδοκῶ πρᾶγμα εἶναι εἰς τοῦτο ταύτῃ τῇ σκέψει. Μὰ Δία (ἦν δ' ἐγὼ) ὦ φίλε Ἀδείμαντε, οὐκ ἄρα ἀφετέον, οὐδ' εἰ μακροτέρα τυγχάνει οὖσα. Οὐ γὰρ ἔνι, ἴθι ἔνι ὥσπερ ἐν μύθῳ μυθολογοῦντές τε καὶ σχολὴν ἄγοντες, λόγῳ παιδεύωμεν τοὺς ἄνδρας. Ἀλλὰ μέν. Τίς οὖν ἡ παιδεία; ἢ χαλεπὸν εὑρεῖν βελτίω τοῦ ὑπὸ τοῦ πολλοῦ χρόνου εὑρημένου; ἔστι δέ που, ἡ μὲν ἐπὶ σώμασι γυμναστική· ἡ δ' ἐπὶ ψυχῇ, μουσική. Ἔστι γάρ. [2] Ἆρ' οὖν οὐ μουσικῇ πρότερον ἁψόμεθα παιδεύοντες ἢ γυμναστικῇ

γυμναστ-

1 Φιλόσοφος δὴ & Θυμοειδὴς] *Ita probanda eſt manſuetudo atque Clementia, ut adhibeatur Reip. cauſa ſeveritas, ſine qua, adminiſtrari civitas non poteſt.* Cic. off. lib. 1.

2 Ἆρ' οὖν οὐ Μουσικῇ] Duæ ſunt partes Diſciplinæ viz. *Gymnaſtica* & *Muſica*. Sub quibus nominibus, omnes illas virtutes comprehendit quæ ad vitæ humanæ praxin ſpectant. Harum nempe prior, *Prudentiam, Fortitudinem, Temperantiam*, &c. complectitur. Poſterior, *Religionem* tantum, quia nulla ferme olim apud *Græcos*, vel *Barbaros* Deorum ſacra, ſine organica, haud minus ac vocali *Muſica*. De qua re multa exſtant

dioſus & philoſophus idem. Idem. Cur igitur audacter non ponamus & in homine, ſiquidem apud familiares & notos mitis futurus eſt, philoſophum ipſum eſſe & diſcendi cupidum oportere? Ponamus. Philoſophus igitur & iracundus, & velox, & robuſtus natura erit, qui civitatis cuſtos optimus eſt futurus. Sic eſt omnino. Talis itaque cuſtos ſit. At quo pacto nutrientur à vobis, erudienturque cuſtodes? Atque hæc conſideratio nunquid vobis conferet ad id cujus gratia conſideramus omnia, comperiendum, quomodo ſcilicet in juſtitia inſit & injuſtitia? Id certe cogitandum eſt, ne forte vel neceſſaria dimittamus, vel ſupervacua proſequamur. Reor equidem, inquit Glauconis frater, diſceptationem hanc ſummopere ad id quod nobis propoſitum eſt, conducere. Ita & ipſe per Jovem, ô amice Adimante, exiſtimo. Non igitur deſiſtendum, neque etiam ſi hæc longiora eſſent. Non certe inquit. Age itaque quemadmodum in fabulis otium agentes confabulanteſque, oratione hos homines inſtruamus. Nempe ſic decet. Quæ igitur erit diſciplina? Num difficile erit invenire meliorem illa quæ hactenus longo tempore eſt inventa? eſt autem hæc ad corpus quidem pertinens *gymnaſtica*, ad animum *muſica*. Eſt plane. An non a *muſica* eruditio hæc prius quam à *gym-*

apud *Strabonem lib.* x. ubi inter alia obſervat, *Platonem*, & priores *Pythagoreos* omne quod *Muſicum* opus Dei cenſuiſſe. Unde etiam legitur apud *Plutarchum*, libro de *anima* e *Timæo*, quod antiquitus Theologi, Philoſophorum vetuſtiſſimi, inſtrumenta *Muſica* in manibus Deorum continuo reponerent, *non utique* ut addit. quod eoſdem *Lyra vel tibia* (non ut ibi interpres *Lyra* vel *Cithara*) *ludere putarent; ſed quod nullum Deo opus convenientius judicarent, quam Harmoniam & Symphoniam.* Οὐχ ὡς λύραν πᾶ καὶ αὐλὸν, ἀλλ' ὅδε ἔργον οἰόμενοι Θεῶν, οἷα ἁρμονίαν εἶναι καὶ συμφωνίαν.

naſtica,

κῆ; Πῶς δ' οὔ; Μουσικῆς δ' εἰπὼν, πίθης λόγους, ἢ οὔ; Ἔγωγε. Λόγων δὴ διττὸν εἶδος· τὸ μὲν, ἀληθές· ψεῦδος δ' ἕτερον. Ναί. Παιδευτέον δ' ἐν ἀμφοτέροις· πρότερον δ' ἐν τοῖς ψευδέσιν. Οὐ μανθάνω (ἔφη) πῶς λέγεις. Οὐ μανθάνεις (ἦν δ' ἐγὼ) ὅτι πρῶτον τοῖς παιδίοις μύθους λέγομεν; τοῦτο δέ που, ὡς τὸ ὅλον εἰπεῖν, ψεῦδος· ἔνι δὲ καὶ ἀληθῆ· πρότερον δὲ μύθοις πρὸς τὰ παιδία ἢ γυμνασίοις χρώμεθα. Ἔστι ταῦτα. Τοῦτο δὴ ἔλεγον, ὅτι μουσικῆς πρότερον ἅπτεσθαι ἢ γυμναστικῆς. Ὀρθῶς, ἔφη. Οὐκοῦν οἶσθ' ὅτι ἀρχὴ παντὸς ἔργου, μέγιστον, ἄλλως τε καὶ νέῳ καὶ ἁπαλῷ ὁτῳοῦν; μάλιστα γὰρ δὴ τότε πλάττεται καὶ ἐνδύεται τύπος ὃν ἄν τις βούληται ἐνσημήνασθαι ἑκάστῳ. Κομιδῇ μὲν οὖν. Ἆρ' οὖν ῥᾳδίως οὕτω παρήσομεν τοὺς ἀπτυχόντας τοῦ ἀπτυχόντων μύθους πλασθέντας ἀκούειν τοὺς παῖδας, καὶ λαμβάνειν ἐν ταῖς ψυχαῖς ὡς ἐπιπολὺ ἐναντίας δόξας ἐκείναις ἃς, ἐπειδὰν τελεωθῶσιν, ἔχειν οἰησόμεθα δεῖν αὐτούς; Οὐδ' ὁπωστιοῦν παρήσομεν. Πρῶτον δὴ ἡμῖν, ὡς ἔοικεν, ἐπιστατητέον τοῖς μυθοποιοῖς· καὶ ὃν μὲν ἂν καλὸν μῦθον ποιήσωσιν, ἐγκριτέον· ὃν δ' ἂν μή, ἀποκριτέον, τοὺς δ' ἐγκριθέντας πείσομεν τάς τε τροφοὺς καὶ μητέρας λέγειν τοῖς παισὶ, καὶ πλάττειν τὰς ψυχὰς αὐτῶν τοῖς μύθοις πολὺ μᾶλλον ἢ τὰ σώματα ταῖς χερσίν· ὧν δὲ νῦν λέγουσι τὰς πολλὰς ἐκβλητέον. Ποίους δή; ἔφη. Ἐν τοῖς μείζοσιν (ἦν δ' ἐγὼ) μύθοις ὁρῶμεν καὶ τοὺς ἐλάττους· δεῖ γὰρ δὴ τὸν αὐτὸν τύπον εἶναι καὶ ταὐτὸν δύνασθαι τούς τε μείζους καὶ τοὺς ἐλάττους· ἢ οὐκ οἴει; Ἔγωγε, ἔφη· ἀλλ' οὐκ οἶνοῦν οὐδὲ τοὺς μείζους

1 Ἐνδύεται τύπος] In teneras mentes quidvis Character facile imprimatur.

Fingit equum tenera docilem cervice Magiſter
Ire viam quam monſtrat eques.

πάνυ

naſtica, incipere debet? Certe. Cum muſicam dicis, ſermones etiam ponis necne? Pono. Orationis autem ſpecies duæ, vera & falſa. Ita eſt. Erudiendus utique in utraque cuſtos futurus, priuſque in falſa. Haud intelligo inquit quid dicas. Neſciſne quod pueris fabulas prius narramus? hæc autem ut ſimpliciter dicam, falſa ſunt, inſunt tamen etiam vera, prius autem fabulis ad pueros quam gymnaſiis utimur. Eſt ut dicis. Hoc ergo volebam, cum dicerem attingendam eſſe prius *muſicam* quam *gymnaſticam*. Probe. An neſcis in unaquaque re maximum eſſe principium, præſertim juveni & tenero cuique? Maxime enim tunc formatur induiturque figura quam quis unicuique imprimere velit. Omnino quidem. An adeo facile permittemus quaſlibet fabulas à quibuſcunque fictas audire pueros, animiſque imbibere opiniones ut plurimum contrarias illis, quas cum adoleverint, habere illos debere exiſtimamus? Nullo modo id permittemus. Primum igitur, ut videtur, fabularum fictoribus præficiendi ſunt, (*Cenſores*) qui ſiquam bonam fabulam fecerint, eligant, reliquas autem abjiciant. Quas denique eligerimus, per nutrices & matres pueris narrandas curabimus, ut ipſorum animi fabulis multo magis informentur quam corpora manibus. Ex his vero quas nunc recenſent, multæ erunt abjiciendæ. Quales inquit. In majoribus, inquam ego, plane minores videbimus. Oportet enim eandem figuram eſſe, eandemque potentiam, & majorum pariter & minorum. An non cenſes? Cenſeo equidem. Verum quas majores ap-

Hor Ep. 2. lib. 2. *Perſius* quoque
Udum & molle lutum es, nunc nunc properandus, & acri Fingendus ſine fine rota. Sat. 3.

pelles,

τίνας λέγεις. [1] Οὓς Ἡσίοδός τε (εἶπον) καὶ Ὅμηρος ἡμῖν ἐλεγέτην, καὶ οἱ ἄλλοι ποιηταί· οὗτοι γάρ που μύθους τοῖς ἀνθρώποις ψευδεῖς συνηθέντες ἔλεγόν τε καὶ λέγουσι. Ποίους δὴ (ἦ δ' ὃς) καὶ τί αὐτῶν μεμφόμενος λέγεις; Ὅπερ (ἦν δ' ἐγὼ) χρὴ καὶ πρῶτον καὶ μάλιστα μέμφεσθαι, ἄλλως τε καὶ ἐάν τις μὴ καλῶς ψεύδηται. Τί τοῦτο; Ὅταν εἰκάζῃ τὶς κακῶς οὐσίας τῷ λόγῳ περὶ θεῶν τε καὶ ἡρώων, οἷοί εἰσιν· ὥσπερ γραφεὺς μηδὲν ἐοικότα γράφων οἷς ἂν ὅμοια βουληθῇ γράψαι. Καὶ γὰρ (ἔφη) ὀρθῶς ἔχει τά γε τοιαῦτα μέμφεσθαι, ἀλλὰ πῶς δὴ λέγομεν; καὶ ποῖα; Πρῶτον μὲν (ἦν δ' ἐγὼ) τὸ μέγιστον καὶ περὶ τῶν μεγίστων ψεῦδος ὁ εἰπὼν, οὐ καλῶς ἐψεύσατο, ὡς Οὐρανός τε εἰργάσατο ἅ φησι δράσαι αὐτὸν Ἡσίοδος, ὅ, τε αὖ Κρόνος ὡς ἐτιμωρήσατο αὐτόν· τὰ δὲ δὴ τοῦ Κρόνου ἔργα καὶ [2] πάθη ὑπὸ τοῦ υἱέως, οὐδ' ἂν εἰ ἦν ἀληθῆ ᾤμην δεῖν ῥᾳδίως οὕτω λέγεσθαι πρὸς ἄφρονάς τε καὶ νέους· ἀλλὰ μάλιστα μὲν σιγάσθαι· εἰ δὲ ἀνάγκη τὶς ἦν λέγειν, δι' ἀπορρήτων ἀκούειν ὡς ὀλιγίστους, θυσαμένους, οὐ χοῖρον, ἀλλά τι μέγα καὶ ἄπορον θῦμα, ὅ, τι ὅπως ἐλαχίστοις συνέβη ἀκοῦσαι Καὶ γὰρ (ἦ δ' ὃς) οὗτοί γε οἱ λόγοι χαλεποί. Καὶ οὐ λεκτέοι γ', ἔφην, ὦ Ἀδείμαντε, ἐν τῇ ἡμετέρᾳ πόλει· οὐδὲ λεκτέον νέῳ ἀκούοντι, ὡς ἀδικῶν τὰ ἔσχατα, οὐδὲν ἂν θαυμαστὸν ποιῇ, οὐδ' αὖ ἀδικοῦντα πα-

1 Οὓς Ἡσίοδός τε] Exulant *Hesiodus* & *Homerus* e *Republica*, quia Deos humanis involvunt cupiditatibus, fingentes illos Mœchari, furtis, odiis, *&c.* implicari, Unde ansam arripiunt homines ad omnem scelerum intemperiem, quum tam illustria exempla illis obversantur, & crimina videntur quodammodo a diis patrocinari.

2 Πάθη ὑπὸ τοῦ υἱέως] *Saturnus* in Θεογονίᾳ castratus est a *Jove* filio.

— ὁ δ' ἐκ λοκέοιο Πάϊς ὠρέξατο χειρὶ
Σκαιῇ, δεξιτερῇ δὲ πελώριον ἔλλαβεν ἅρπην

τέρα

pelles, nequaquam intelligo. Quas Heſiodus & Homerus reliquique poetæ ſcripſerunt, hi nanque hominibus falſas fabulas effinxere, quos quotidie narrant. Quas fabulas dicis? quidve in ipſis damnas? Quod & primo & maxime damnari oportet, præſertim cum aliquis non bene mentitur. Quid iſtud? Quando quis verbis male fingit, quales dii & heroes ſint, pictoris inſtar nulla ex parte ſimilia figurantis ad ea quæ imitari conatur. Atqui talia merito vituperantur. Verum quomodo & qualia dicimus? Primum quidem & maximum, & de maximis rebus mendacium, quod non probe mentitus eſt Heſiodus, quando geſta illa à Cælo fingit, additque quemadmodum Saturnus eum punivit, quæve egit Saturnus recenſet, & quæ a filio perpeſſus eſt. Quæ quidem & ſi vera eſſent, non tamen putarem tam aperte ad homines mentis inopes, adoleſcenteſque proferenda, ſed tacenda potius. Sin autem neceſſitas adeſſet loquendi, in arcanis audienda paucis non porcum ſacrificantibus, ſed pretioſam quandam raramque victimam, ut quam pauciſſimis audire contingat. Profecto duri ſunt hi ſermones. Neque dicendi, ô Adimante, in civitate noſtra. Neque dicendum juveni audienti, quod qui iniquiſſima facinora perpetrat, nihil mirum com-

Μακρὴν χαρχαρόδοντα· φίλε δ' ἀπὸ μηδὲν Πατρὸς
Ἐσσυμένως ἤμησε.

at ſi Allegorias ſub hiſce fabulis latentes (inquit vir πολυμαθέστατος Baſ. Kennet) *Pythagoras Platoque* cognoviſſent, non alter e Rep. ſua ejiciſſet, neque ut apud Inferos ſupplicium darent, feciſſet alter. At pace tanti viri dixerim, aliter Platonem affirmaſſe. Dicit enim quod hæ fabulæ minime ſunt in Remp. recipiendæ, ἐπ' ἐν ὑπονοίας πεποιημένας, ἐπ' ἄνευ ὑπονοιῶν.

mittat :

τέρα κολάζων παντὶ τρόπῳ· ἀλλὰ δρῴη ἂν ὅπερ Θεῶν οἱ πρῶτοί τε καὶ μέγιστοι. Οὐ μὰ τὸν Δία (ἦ δ' ὃς) οὐδ' αὐτῷ μοι δοκεῖ ἐπιτήδεια εἶναι λέγειν. Οὐδέ γε (ἦν δ' ἐγὼ) τοπαράπαν, ὡς [1] θεοὶ θεοῖς πολεμοῦσί τε καὶ ἐπιβουλεύουσι καὶ μάχονται· οὐδὲ γὰρ ἀληθῆ· εἴ γε δεῖ ἡμῖν τοὺς μέλλοντας τὴν πόλιν φυλάξειν, αἴσχιστον νομίζειν τὸ ῥᾳδίως ἀλλήλοις ἀπεχθάνεσθαι. Πολλοῦ δεῖ γιγαντομαχίας τε μυθολογητέον αὐτοῖς καὶ ποικιλτέον, καὶ ἄλλας ἔχθρας πολλὰς καὶ παντοδαπὰς θεῶν τε καὶ ἡρώων πρὸς συγγενεῖς τε καὶ οἰκείους αὐτῶν· ἀλλ' εἴ πως μέλλομεν πείσειν ὡς οὐδεὶς πώποτε πολίτης, ἕτερος ἑτέρῳ ἀπήχθετο, οὐδ' ἔστι τοῦτο ὅσιον, τοιαῦτα λεκτέα μᾶλλον πρὸς τὰ παιδία εὐθὺς, καὶ γέρουσι καὶ γραυσὶ, καὶ πρεσβυτέροις γιγνομένοις· καὶ τοὺς ποιητὰς ἐγγὺς τούτων ἀναγκαστέον λογοποιεῖν. [2] Ἥρας δὲ δεσμοὺς ὑπὸ υἱέως, καὶ Ἡφαίστου ῥίψεις ὑπὸ παστὸς, μέλλοντος τῇ μητρὶ τυπτομένῃ ἀμύνειν, καὶ θεομαχίας ὅσας Ὅμηρος πεποίηκεν, οὐ παραδεκτέον εἰς τὴν πόλιν, οὔτ' ἐν ὑπονοιαίς πεποιημέναι οὔτ' ἄνευ ὑπονοιῶν· ὃ γὰρ νέος, οὐχ οἷός τε κρίνειν ὅ, τι τὲ ὑπόνοια καὶ ὃ μή· ἀλλ' ἃ ἂν τηλικοῦτος ὢν λάβῃ ἐν ταῖς δόξαις, δυσέκνικτά τε καὶ ἀμετάστατα φιλεῖ γίγνεσθαι· ὧν δὴ καὶ ἴσως ἕνεκα, περὶ παντὸς ποιητέον, ἃ πρῶτα ἀκούουσιν, ὅτι κάλλιστα μεμυθολογημένα πρὸς ἀρετὴν ἀκούειν· Ἔχει γὰρ (ἔφη) λόγον· ἀλλ' εἴ τις αὖ καὶ ταῦτα ἐρωτῴη ἡμᾶς, αὐτὰ ἅττα ἐστὶ, καὶ τίνες οἱ μῦθοι, τίνας ἂν φαῖμεν; Καὶ ἐγὼ εἶπον, Ὦ Ἀδείμαντε, οὐκ ἐσμὲν ποιηταὶ ἔγωγε καὶ σὺ ἐν τῷ παρόντι, ἀλλ' οἰκισταὶ πόλεως. οἰκισταῖς δὲ τοὺς μὲν τύπους προσήκει εἰδέναι, ἐν οἷς δεῖ μυθολογεῖν τοὺς ποιητάς· παρ' οὓς ἐὰν ποιῶσιν, οὐκ

1 Θεοὶ Θεοῖς] *Hom.* Iliad. lib. 20.

2 Ἥρας δὲ δεσμοὺς] Verba his similia *Suidas* affert ex *Cle-*

ἐπι-

mittat: aut qui peccantem patrem ſupplicio afficit, imo facit quod primi maximique deorum fecerunt. Non per Jovem inquit. Nam neque mihi quidem digna hæc videntur, quæ dicantur. Neque omnino quod cum diis dii bellum gerant, inſidientur, & pugnent. Neque enim vera: ſiquidem oportet futuros apud nos civitatis cuſtodes turpe putare inter ſe diſſidere. Quare nec ullo pacto narrandum illis gigantum beſlum nec variegandum, præliave permulta deorum & heroum cognatis ſuis proximiſque illata: ſed ſiquo pacto perſuaſuri ſumus, nullum unquam civem civi adverſatum eſſe, neque eſſe hoc ſanctum, talia quædam potius & pueris ſtatim, & adoleſcentibus a ſenioribns aniculiſque narranda ſunt, cogendique poetæ, ut ad hæc fabulas ſuas dirigant. Vincula autem Junoni a filio injecta, & Vulcanum cœlo a patre dejectum, cum ille matri verberatæ ſubvenire vellet, aut deorum pugnas, quaſcunque Homerus ſcripſit, minime in civitate recipere debemus, ſive per allegoriam dicta hæc ſint, ſive ſine allegoria; non enim adoleſcens hæc dignoſcere poteſt, ſed quæ in ea ætate opiniones accipiuntur, difficilime erui evelique conſueverunt. Quorum forte gratia danda omnino eſt opera, ut hæ fabellæ quas primas audient, optime inſtitutæ ad virtutem ſint. Non eſt procul a ratione quod dicis. Verum ſi quis interroget eæ quæ ſint, & cujuſmodi fabulæ, quidnam dicemus? Tum ego, ô Adimante, inquam, poetæ quidem in præſentia neque ego, neque tu ſumus, ſed civitatis inſtitutores: hos autem noſſe oportet figuras, in quibus fingere poetæ fabulas debeant: quas

mente quodam, ſed quoniam incertum ſit quis fuit iſte *Clemens*, non proferemus.

ſi

ἐπιτρεττέον· οὐ μὴν αὐτοῖς γε ποιητέον μύθους. Ὀρθῶς, ἔφη. Ἀλλ' αὐτὸ δὴ τοῦτο οἱ τύποι περὶ θεολογίας, τίνες ἂν εἶεν; Γοιοίδέ που τινές· (ἦν δ' ἐγὼ) οἷος τυγχάνει ὁ θεὸς ὤν, ἀεὶ δή που ἀποδοτέον, ἐάν τέ τις αὐτὸν ἐν ἔπεσι ποιῇ, ἐάν τε ἐν μέλεσιν, ἐάν τε ἐν τραγῳδίᾳ. Δεῖ γάρ. Οὐκοῦν ἀγαθὸς ὅγε θεὸς τῷ ὄνῃ τε, καὶ λεκτέον οὕτω; Τί μήν; Ἀλλὰ μὴν οὐδέν γε τῶν ἀγαθῶν βλαβερὸν· ἦ γάρ; Οὔ μοι δοκεῖ. Ἆρ' οὖν, ὃ μὴ βλαβερὸν, βλάπτει; Οὐδαμῶς Ὃ δὲ μὴ βλάπτει, κακόν τι ποιεῖ; Οὐδὲ τοῦτο. Ὃ δέ γε μηδὲν κακὸν ποιεῖ, οὐδ' ἄν τινος εἴη κακοῦ αἴτιον. Πῶς γάρ; Τί δέ; ὠφέλιμον τὸ ἀγαθόν; Ναί. Αἴτιον ἄρα εὐπραγίας. Ναί. Οὐκ ἄρα πάντων γε αἴτιον τὸ ἀγαθὸν ἀλλὰ τῶν μὲν εὖ ἐχόντων αἴτιον, τῶν δὲ κακῶν ἀναίτιον. Παντελῶς γε, ἔφη. Οὐδ' ἄρα (ἦν δ' ἐγὼ) ὁ θεὸς, ἐπειδὴ ἀγαθὸς, πάντων ἂν εἴη αἴτιος, ὡς οἱ πολλοὶ λέγουσιν· ἀλλ' ὀλίγων μὲν τοῖς ἀνθρώποις αἴτιος, πολλῶν δὲ ἀναίτιος, πολὺ γὰρ ἐλάττω ταγαθὰ τῶν κακῶν ἡμῖν· καὶ τῶν μὲν ἀγαθῶν οὐδένα ἄλλον αἰτιατέον· τῶν δὲ κακῶν ἄλλ' ἄττα δεῖ ζητεῖν τὰ αἴτιια, ἀλλ' [1] οὐ τὸν θεόν. Ἀληθέστατα (ἔφη) δοκεῖς μοι λέγειν. Οὐκ ἄρα (ἦν δ' ἐγὼ) ἀποδεκτέον οὔτε Ὁμήρου, οὔτ' ἄλλου ποιητοῦ ταύτην τὴν ἁμαρτίαν περὶ τοὺς θεοὺς ἀνοήτως ἁμαρτάνοντος, καὶ λέγοντος ὡς δοιοὶ πίθοι

——— [2] κατακείαται ἐν Διὸς οὔδει,
Κηρῶν ἔμπλειοι· ὁ μὲν, ἐσθλῶν, αὐτὰρ ὃ, δειλῶν.

καὶ ᾧ μὲν καμμίξας ὁ Ζεὺς δῷ ἀμφοτέρων,

1 Οὐ τὸν Θεὸν] *Deorum, cum sint optimi Natura,* (ait *Seneca*) *proprium est, benefacere omnibus, nocere nemini.* Et rursus, *Omnia mala removet, Scelera & flagitia & Cogitationes improbas, & avida consilia, & libidinem cæcam, & alieno imminentem avaritiam.* De Provid. ἡ Βούλησις ἄφθονος, ad Deos per-

Αλλο-

μένῳ θεᾶσθαι; Πολύ γε. Καὶ μὴν [1] τό γε κάλλιστον, ἐρασμιώτατον. Πῶς δ' οὔ; Τῶν δὴ ὁτιμάλιστα τοιούτων ἀνθρώπων ὅγε μουσικὸς ἐρῴη ἄν· εἰ δὲ ἀξύμφωνος εἴη, οὐκ ἂν ἐρῴη. Οὐκ, εἴ γέ τι (ἔφη) κατὰ τὴν ψυχὴν ἐλλείποι· εἰ μέν τοι κατὰ τὸ σῶμα, ὑπομείνειεν ἄν, ὥστ' ἐθέλειν ἀσπάζεσθαι. Μανθάνω (ἦν δ' ἐγὼ) ὅτι ἐστί σοι ἢ γέγονε παιδικὰ τοιαῦτα· καὶ συγχωρῶ· ἀλλὰ τόδε μοι εἰπὲ, σωφροσύνῃ καὶ ἡδονῇ ὑπερβαλλούσῃ ἔστι τὶς κοινωνία; Καὶ πῶς; (ἔφη) ἥ γε ἔκφρονα ποιεῖ οὐχ ἧττον ἢ λύπη; Ἀλλὰ τῇ ἄλλῃ ἀρετῇ; Οὐδεμῶς. Τί δέ; ὕβρει τε καὶ ἀκολασίᾳ; Πάντων μάλιστα. Μείζω δέ τινα καὶ ὀξυτέραν ἔχεις εἰπεῖν ἡδονὴν τῆς περὶ τὰ ἀφροδίσια; Οὐκ ἔχω (ἦ δ' ὅς) οὐδέ γε μανικωτέραν. Ὁ δὲ ὀρθὸς ἔρως πέφυκε, κοσμιοῦ τε καὶ καλοῦ σωφρόνως τε καὶ μουσικῶς ἐρᾷν. Καὶ μάλα, ἦ δ' ὅς. Οὐδὲν ἄρα προσοιστέον μανικὸν, οὐδὲ ξυγγενὲς ἀκολασίας, τῷ ὀρθῷ ἔρωτι. Οὐ προσοιστέον. Οὐ προσοιστέον ἄρα αὐτῷ ἡδονὴν, οὐδὲ κοινωνητέον αὐτῆς ἐραστῇ τε καὶ παιδικοῖς, ὀρθῶς ἐρῶσί τε καὶ ἐρωμένοις, Οὐ μέντοι μὰ Δί', ἔφη, ὦ Σώκρατες, προσοιστέον. Οὕτω δὴ, ὡς ἔοικε, νομοθετήσεις ἐν τῇ οἰκιζομένῃ πόλει, φιλεῖν μὲν καὶ ξυνεῖναι καὶ ἅπτεσθαι, ὥσπερ υἱέος, παιδικῶν, ἐραστὴν, [2] τῶν καλῶν χάριν, ἐὰν πείθῃ· τὰ δ' ἄλλα οὕτως ὁμιλεῖν πρὸς ὅν τις σπουδάζοι, ὅπως μηδέποτε δόξῃ μακρότερα τούτων ξυγγίνεσθαι· εἰ δὲ μὴ, ψόγον ἀμουσίας καὶ ἀπειροκαλίας ὑφέξοντα. Οὕτως, ἔφη. Ἆρ' οὖν (ἦν δ' ἐγὼ) καὶ

1 Κάλλιστον ἐρασμιώτατον] *Gratior est pulchro veniens e corpore virtus.*

2 Τῶν καλῶν χάριν] Puer ille apud veteres Græcos qui nullum habuit Amatorem, inhonestis habebatur moribus, Talis enim Amor maxime conduxit ad erigendas firmandasque Respublicas, quia amati Pueri ab *Amatoribus* suis omnibus ingenuis artibus eruditi, stimulati

τοι

cere poſſit, ſpectaculum. Valde quidem. Atqui quod maxime pulchrum, & amabile maxime. Prorſus. Tales quoſdam homines maxime vir muſicus adamaret: ſi quid vero duntaxat deeſſet corpori, ſufferret quidem adeo, ut diligere amplectique velit. Intelligo equidem, quia tales quidem vel amantur abs te, vel amati jam ſunt, atque aſſentior. Sed hoc mihi dicas. Eſtne ullum temperantiæ cum ſoluta nimiaque voluptate commercium? Quoniam pacto? Quippe cum voluptas hujuſmodi non minus, quam dolor mentem e ſuo ſtatu dimoveat. Aliis vero virtutibus? Minime. Quid autem? petulantia intemperantiaque (habent cum nimia voluptate communionem?) Maxime omnium. Habeſne majorem & vehementiorem voluptatem, quam quæ circa venerea? Neque vehementiorem ullam habeo, neque furioſiorem. Rectus autem amor ipſa ſui natura temperate & muſice amat pulchrum atque decorum. Prorſus. Nihil ergo furioſum vel intemperantiæ proprium recto amori eſt admovendum. Non certe. Neque igitur jungenda illi eſt voluptas, neque in ea communicare debent amatores cum legitime dilectis adoleſcentibus, amanteſque cum amatis. Per Jovem nullo modo, ô Socrates. Sic igitur, ut videtur, in civitate inſtituta legem condes, amatorem amare, una eſſe, & tangere amatum, ſi perſuaſerit, tanquam filium, honeſtorum cauſa, atque in omnibus ſic verſari cum eo quem amat, ut nunquam diutius quam hoc patiatur, eſſe cum illo videretur. Sin minus ignominiam ſubeat, tanquam qui nihil omnino ſapiat muſicum pulchrumve.

ſunt ad quaſcunque actiones laude dignas, perſequendas, & in honorem Patriæ & *Amatorum*. Non impurus fuit iſte *Amor*, ſed caſtus & *Socrate* dignus qui hoc modo amavit *Alcibiaden*.

Vetitum erat *Servis* amare liberos pueros, & ſi quis proſtravit puerum morte multatus eſt. Σπαρτιάτης ΕΡΩΣ οὐκ αἰσχρὸν οὐδέν. *Ælian.* lib. 3. cap. 12. Id. lib. 3. cap. x. de amore.

Sic

σοι φαίνεϑ' τέλος ἡμῖν ἔχειν ὁ περὶ μουσικῆς λόγος; Οἷ γοῦν τελευτᾷν, τελεύτηκε. Δεῖ δέ που τελευτᾷν τὰ μουσικὰ εἰς τὰ τοῦ καλοῦ ἐρωτικά· Ξύμφημι, ἦ δ' ὅς. Μετὰ δὴ μουσικὴν, γυμναστικῇ ϑρεπτέοι οἱ νεανίαι. Τί μήν; δὴ καὶ ταύτη ἀκριβῶς τρέφεσθαι ἐκ παίδων ἀϑλητὰ βίου· ἕξει δέ πως, ὡς ἐγῷμαι, ὧδε· σκόπει δὴ καὶ σύ· ἐμοὶ μὲν γὰρ ὁ φαίνεϑ', ὃ ἂν ϑνητὸν ᾖ σῶμα, τοῦτο τῇ αὐτοῦ ἀρετῇ ψυχὴν ἀγαθὴν ποιεῖν ἀλλὰ τοὐναντίον, ψυχὴ ἀγαθὴ τῇ αὑτῆς ἀρετῇ σῶμα παρέχειν ὡς οἷόν τε βέλτιστον· σοὶ δὴ πῶς φαίνεϑ'; Καὶ ἐμοὶ (ἔφη) οὕτως. Οὐκοῦν, εἰ τὴν διάνοιαν ἱκανῶς ϑεραπεύσαντες, τἄλλα δοῖμεν αὐτῇ τὰ περὶ τὸ σῶμα ἀκριβολογεῖσθαι, ἡμεῖς δὲ ὅσον τοὺς τύπους ὑφηγησαίμεϑα, (ἵνα μὴ μακρολογῶμεν) ὀρθῶς ἂν ποιοῖμεν; Πάνυ μὲν οὖν. Μέϑης μὲν δὴ εἰποῦμεν ὅτι ἀφεκτέον αὐτοῖς· παντὶ γάρ που μᾶλλον ἐγχωρεῖ, ἢ φύλακι, μεϑυσϑέντι, μὴ εἰδέναι ὅπου γῆς ἐστί. Γελοῖον γοῦν (ἦ δ' ὅς) τόν γε φύλακος δεῖσϑαι. Τί δὲ δὴ σίτων πέρι; ἀϑληταὶ μὲν γοῦν οἱ ἄνδρες τοῦ μεγίστου ἀγῶνος· ἢ οὐχί; Ναί. Ἆρ' οὖν ἡ τῶνδε τῶν ἀσκητῶν ἕξις προσήκουσ' ἂν εἴη τούτοις; Ἴσως· Ἀλλ' (ἦν δ' ἐγὼ) ὑπνώδης αὕτη γέ πῃ καὶ σφαλερὰ πρὸς ὑγίειαν· ἢ οὐχ ὁρᾷς καθ' ὕδυσί τε τὸν βίον καὶ ἐὰν σμικρά ἐκδῶσι τῆς τεταγμένης ἀφίτης, μεγάλα καὶ σφόδρα νοσοῦσιν οὗτοι οἱ ἀσκηταί; Ὁρῶ. Κομψοτέρας δέ πινος (ἦν δ' ἐγὼ) ἀσκήσεως δεῖ τοῖς πολεμικοῖς ἀϑληταῖς. ὅς γε, ὥσπερ κύνας, ἀγρύπνους τε ἀνάγκη εἶναι, καὶ ὅτι μάλιστα ὀξὺ ὁρᾶν καὶ ἀκούειν, καὶ πολλὰς μεταβολὰς ἐν ταῖς στρατείαις μεταβάλλοντας ὑδάτων τε καὶ τῶν ἄλλων σίτων, καὶ εἰλήσεων καὶ χειμώνων, μὴ ἀκροσφαλεῖς εἶναι πρὸς ὑγίειαν. Φαίνεταί μοι. Ἆρ' οὖν ἡ

1 Μετὰ δὴ Μουσικὴν] *Musicam*, primam institutionis partem jam tractavit, nunc aget de *Gymnastica*, i. e. de ea insti-

βελτίστη

Sic prorſus. Nonne tibi videtur finem ſuum jam ſermo de muſica conſecutus? Quo enim finiri debet, eo jam pervenit. Oportet enim finis tribui rebus muſicis rerum amatoriarum commemoratione. Aſſentior equidem. Poſt muſicam vero in gymnaſtica exercendi ſunt juvenes. Quidni? Oportet enim & in hac per omnem vitam diligenter a pueris educari. Id autem ita ſe habet quodammodo, ut opinor. Animadverte & tu. Mihi quidem non videtur bene affectum corpus, vi ſua bonum animum facere, ſed contra bene affectus animus, vi ſua corpus quoad fieri poteſt, optimum reddere. Tibi vero quidnam videtur? Quod & tibi. Nonne ſi poſtquam mentem ſatis excoluerimus, trademus ei, ut quæ ad corpus pertinent, diligenter & exacte inquirat & curet, nos autem quaſi quaſdam formulas proponemus, ne longiores ſimus, recte faciemus? Omnino. Ab ebrietate itaque ipſis diximus abſtinendum. Unicuique enim magis conceditur quam cuſtodi, ut ebrietate gravatus, ubi terrarum ſit, neſciat. Nempe ridiculum eſſet, cuſtode indigere cuſtodem. De cibis autem quid dicemus? Athletæ enim hi viri ſunt, & maximi quidem certaminis. Nonne? Maximi plane. Num aliorum athletarum habitudo illis conveniens eſſet? Fortaſſe. At vero ſomnolenta hæc eſt, & ad valetudinem dubia. An non vides quod vitam edormiunt? & ſi parum quidem ab inſtituto victu diſcedunt, graviter ægrotant exercitatores hujuſmodi? Video equidem. Elegantiori igitur aliqua exercitatione opus eſt bellicoſis Athletis quos tanquam canes inſomnes eſſe oportet, & quam acutiſſime videre atque audire, & multas in exercitu mutationes aquarum, & aliorum ciborum, æſtus & frigoris ita perpeti, ne facile in morbos delabantur. Ita mihi

tutione quæ ad practicas Virtutes pertinet. Docet autem Politice qualem in illa curam adhibere debet qui Remp. eſt adminiſtraturus.

βελτίση γυμναστική, ἀδελφή τις ἂν εἴη ἡ ἁπλῆς μουσικῆς, ἣν ὀλίγον ἔμπροσθεν διῆμεν; Πῶς λέγεις; Ἁπλῆ τις καὶ ἐπιεικὴς γυμναστική, καὶ μάλιστα ἡ πρὸς τὸν πόλεμον. Πῆ δή; Καὶ παρ' Ὁμήρου (ἦν δ' ἐγώ) τά γε τοιαῦτα μάθοι ἄν τις· οἶσθα γὰρ ὅτι ἐπὶ στρατιᾶς οὐ ταῖς τῶν ἡρώων ἑστιάσεσιν, οὔτε ἰχθύσιν αὐτοὺς ἑστιᾷ, καίτοι παρὰ θαλάττῃ ἐν Ἑλλησπόντῳ ὄντας, οὔτε ἑφθοῖς κρέασιν, ἀλλὰ μόνον ὀπτοῖς· ἃ δὴ μάλιστα ἂν εἴη στρατιώταις εὔπορα· παντα χοῦ γάρ, ὡς ἔπος εἰπεῖν, αὐτῷ τῷ πυρὶ χρῆσθαι εὐπορώτερον, ἢ ἀγγεῖα ξυμφέρειν. Καὶ μάλα. Οὐδὲ μὴν ἡδυσμάτων, ὡς ἐγῷμαι, Ὁμηρος πώποτε ἐμνήσθη· ἢ τοῦτο μὲν καὶ οἱ ἄλλοι ἀσκηταὶ ἴσασιν, ὅτι τῷ μέλλοντι σώματι εὖ ἕξειν ἀφεκτέον τῶν τοιούτων ἀπάντων. Καὶ ὀρθῶς γ', ἔφη, ἴσασί τε καὶ ἀπέχονται. Συρακουσίαν δή, ὦ φίλε, τράπεζαν καὶ Σικελικὴν ποικιλίαν ὄψων, ὡς ἔοικας, οὐκ αἰνεῖς· εἰπέρ σοι ταῦτα δοκεῖ ὀρθῶς ἔχειν. Οὔ μοι δοκῶ. Ψέγεις ἄρα καὶ Κορινθίαν κόρην φίλην εἶναι ἀν-

1 Οὐδὲ μὴν ἡδυσμάτων] *Ad morbos vitandos, & bonum habitum, bonamque valetudinem conſervandam ſimplicem, frugalemque victum, & condimentorum omniſque varietatis abſtinentiam conferre, Plato lib.* 3. *de rep. Homeri teſtimonio, & auctoritate conatus eſt perſuadere. Etenim nuſquam apud Homerum* legitur, *in Heroum convivia, etſi juxta mare* Helleſponticum *caſtra haberent, piſces, & carnes elixas veniſſe, ſed aſſas duntaxat, condimentorum etiam nunquam meminit.* Οὐδὲ μὴν ἡδυσμάτων ὡς ἐγῷμαι Ὁμηρος ἐμνήσθη. *Qui locus eſt conſiderandus, ne tanti viri auctoritate commoti errore aliquo capiamur. Non eſt etiam ſumendum ex hoc loco, piſces apud Heroas illos vetuſtiſſimos in uſu ciborum non fuiſſe, probabile quidem eſt, tamdiu eos piſcibus caruiſſe, quamdiu cum Trojanis bellum geſſerunt, quoniam in Iliacarum rerum tractatione piſcium Homerus nunquam meminit, & hoc tantum Platonem voluiſſe exiſtimo, qui ſpeciatim illa Heroum convivia commemorat, quæ in exercitu parabantur,* οἶσθα γὰρ ὅτι ἐπὶ στρατιᾶς οὐ ταῖς τῶν ἡρώων ἑστιάσεσιν ἔστι ἰχθύσιν αὐτοὺς ἑστιᾷ, καίτοι παρὰ θαλάττῃ ἐν Ἑλλησ-

δεγάσι

videtur. Optima igitur gymnastica soror esset simplicis musicæ, de qua paulo ante tractavimus. Quomodo istud? simplex utique & conveniens gymnastica, & maxime militum exercitatio. Quo pacto? Ab Homero quidem id discere possumus. Nosti enim quemadmodum in belli expeditionibus in heroum conviviis, neque pisces ipsis parat, quamvis ipsi in Hellesponto mari essent, neque elixas carnes, sed assas, quæ facilius à militibus præparantur. Ubique enim facilius est, ut paucis dicam, ipso igne uti, quam vasa circunferre. Sane. Neque unquam variorum condimentorum, ut arbitror, Homerus meminit. Sed hoc & alii sciunt quicunque exercentur, quod cui corpus robustum esse debet, a cunctis hujusmodi rebus est abstinendum. Recte quidem & sciunt, & abstinent. Syracusanas itaque, ô amice, mensas & Siculorum, ut videris, obsoniorum varietatem non laudas: si quidem hæc ita tibi recte se habere videntur. Non certe, ut mihi quidem videor. Vituperas & Corinthium luxum blan-

πόντῳ ὄντας *in exercitu igitur piscibus caruerunt, fortasse ob has rationes, quod nec idonea ad piscandum instrumenta tenebant, nec dabatur otium ad piscandum cum de pugna perpetuo soliciti essent; & nolebant piscatus voluptate militum animos a pugnæ cogitatione, ac desiderio avertere. Domi vero secus existimandum: nam idem Homerus* Odyss. 12. *piscium meminit, hic enim Ulyssis socii dicuntur postquam viaticum defecisset, ad piscatum & aucupium converti.*

Ἀλλ' ὅτε δὴ νηὸς ἐξέφθιτο ἤια πάντα
Καὶ δὲ ἄγρην ἐφέσπεκον ἀλητεύοντες ἀνάγκη,
Ἰχθῦς, ὄρνιθας τε φίλας

Marsilius Cagnatus Medicus Veronensis.

2 Συρακουσίαν δὲ] *Syracusanæ mensæ* proverbium pro multis & lautis dapibus. Σικελικὴ τράπεζα apud *Suidam* luxuriosum significat convivium. *Athenæus* item Coquos *Siculos* veluti ciborum optime condiendorum artifices laudat, *Horatius* quoque *Siculas dapes* ut lautissimas meminit. *Plato* ipse arguitur Siculæ luxuriæ, a *Xenophonte* in Epist. 1. ad *Æschinem*.

φράσι μέλλουσιν οὐ σώφρονος ἔξειν. Παντάπασι μὲν οὖν. Οὐκοῦν καὶ ἀθλητῶν ἐπιμήτους τοὺς δοκοῦντας εἶναι διὰ παθείας; Ἀνάγκη. Ὅλως γε, οἶμαι, τοιούτῳ σίτῳ καὶ διαίτῃ τῇ μελοποιΐᾳ τε καὶ ᾠδῇ, τῇ ἐν τῇ παναρμονίῳ καὶ ἐν πᾶσι ῥυθμοῖς πεποιημένῃ, ἀπειχάζοντες, ὀρθῶς ἂν ἀπειχάζοιμεν. Πῶς γὰρ οὔ; Οὐκοῦν ἐκεῖ μὲν ἀκολασίαν ἡ ποικιλία ἐνέτικτεν, ἐνταῦθα δὲ νόσον· ἡ δ' ἁπλότης τῇ μὲν μουσικῇ, ἐν ψυχαῖς σωφροσύνην, τῇ δὲ γυμναστικῇ, ἐν σώμασιν ὑγίειαν. Ἀληθέστατα, ἔφη. Ἀκολασίας δὲ καὶ νόσων πληθυουσῶν ἐν πόλει, ἆρ' οὐ δικαστήριά τε καὶ ἰατρεῖα πολλὰ ἀνοίγεται, καὶ δικανική τε καὶ ἰατρικὴ σεμνύονται, ὅταν δὴ καὶ ἐλευθέροι πολλοὶ καὶ σφόδρα περὶ αὐτὰ σπουδάζωσι; Τί γὰρ οὐ μέλλει; Τῆς δὲ κακῆς τε καὶ αἰσχρᾶς παιδείας ἐν πόλει ἆρα μή τι μεῖζον ἔξεις λαβεῖν τεκμήριον, ἢ τὸ δεῖσθαι ἰατρῶν καὶ δικαστῶν ἄκρων μὴ μόνον τοὺς φαύλους τε καὶ χειροτέχνας, ἀλλὰ καὶ τοὺς ἐν ἐλευθέρῳ σχήματι πεφυσιωμένους τραφῆναι; ἢ σοὶ μὲν αἰσχρὸν δοκεῖ, καὶ ἀπαιδευσίας μέγα τεκμήριον, τὸ ἐπακτῷ παρ' ἄλλων, ὡς δεσποτῶν τε καὶ κριτῶν, τῷ δικαίῳ ἀναγκάζεσθαι χρῆσθαι, καὶ ἐπεὶ οἰκείων; Πάντων μὲν οὖν, ἔφη, αἴσχιστον. Ἢ δοκεῖ σοι (ἦν δ' ἐγώ) τούτου αἴσχιον εἶναι τοῦτο, ὅταν τις μὴ μόνον τὸ πολὺ τοῦ βίου ἐν δικαστηρίοις φεύγων τε καὶ διώκων κατατρίβηται, ἀλλὰ καὶ ὑπὸ ἀπειροκαλίας ἐπ' αὐτῷ δὴ τούτῳ πεῖθηται καλλωπίζεσθαι, ὡς δεινὸς ὢν τὸ ἀδικεῖν, καὶ ἱκανὸς πάσας μὲν τροπὰς τρέ-

3 Ἀκολασίας δὲ καὶ νόσων] Hæc verba minus probe a nonnullis fuisse accepta animadvertit idem *Cagnatus*, dum existimant eorum illam esse sententiam, quod Medicina ortum habuerit ab *intemperantia* & morbis, tanquam duplicem illius Originem *Plato* exposuerit. Quod tamen *Platonis* verbis non quadrat, qui ut duarum artium Originem ostendit, duo earum diversa initia

dientium puellarum in his qui optima corporis habitudine futuri ſunt. Summopere. Quinetiam Attica bellaria condimentaque, quæ jucunda plurimis & delicata videntur. Neceſſe eſt. Omnem enim, ut exiſtimo hujuſmodi victum, ſi ſimilem eſſe dicemus melodiæ & cantilenæ quæ in omni genere harmoniæ, omnibuſque rythmis verſantur, recte comparaverimus. Plane. Ibi quidem intemperantiam varietas parit, hic morbum: ſimplicitas autem ſecundum muſicam in animis temperantiam, ſecundum vero gymnaſticam in corporibus ſanitatem. Veriſſima loqueris. Intemperantia vero & morbis in civitate multiplicatis, & tribunalia & medicorum officinæ aperiuntur. Unde judiciaria & medicina in pretio habentur, quando & liberi multi his ſummopere ſtudeant. Quidni? Igitur malæ & turpis diſciplinæ in civitate nullam majorem potes conjecturam capere, quam ſummis judicibus ac medicis indigere, non modo abjectos homines & mechanicos, ſed eos etiam qui liberali diſciplina educatos eſſe ſe gloriantur. Nonne turpe videtur, & malæ inſtitutionis magna conjectura, ut cogamur ob propriæ virtutis inopiam juſtitia uti externa aliorum, videlicet tanquam dominorum & judicum? Omnium profecto turpiſſimum. An non hoc quoque turpius eſſe putas? quando aliquis non modo multum vitæ tempus in judiciis, tum accuſando, tum defendendo conterit, ſed & rudi quadam elatus jactantia, eo ipſo gloriatur, quaſi ſit potens ad injuriam inferendam, ſuiſque verſutiis uſque adeo tergiverſari valeat eaque perfugia invenire, ut nul-

explicavit: ſicut enim altera Corpus, altera animum reſpicit, ita par eſt alterius cauſam Corpori, alterius animo propinquiorem eſſe in corpore *Morbus*, in animo *Intemperantia*. Ille Medicinæ, hæc, judiciariæ cauſam præbuit. Utque ad judiciariam *Morbus* non ſpectat, ita putandū eſt *Intemperantiam*, ſicut hoc loco accipitur minime ad medicinam pertinere &c.

φεσθαι, πάσας ἢ διεξόδους διεξελθὼν ἀποφαυλίζων λογιζόμενος. ὥστε μὴ προσχεῖν δίκας, ἢ ταῦτα, σμικρῶν τε ἢ ὑδενὸς ἀξίων ἕνεκα; ἀγνοῶν ὅσῳ κάλλιον ἢ ἄμεινον, τὸ προσκυάζειν τὸν βίον αὐτῷ μηδὲν δεῖσθαι νυστάζοντος δικαστοῦ. Οὐκ· ἀλλὰ τοῦτ', ἔφη, ἐκεῖνο ἐπι αἴσχιον. Τὸ ἢ ἰατρικῆς (ἣν δ' ἐγὼ) δεῖσθαι, ὅτι μὴ τραυμάτων ἕνεκα, ἢ πυῶν ἐπειλείων νοσημάτων προσπεσόντων, ἀλλὰ δι' ἀργίαν τε ἢ δαιλαν οἵαν διήλθομεν, ῥευμάτων τε ἢ πνευμάτων, ὥσπερ λίμνας, ἐμπιπλαμένους, φύσας τε ἢ καταῤῥους νοσήμασιν ὀνόματα πιθανῶς ἀναγκάζειν τοὺς κομψοὺς Ἀσκληπιάδας, οὐκ αἰσχρὸν δοκεῖ; Καὶ μάλ', ἔφην, ὡς ἀληθῶς καινὰ ταῦτα ἢ ἄτοπα νοσημάτων ὀνόματα. Οἷα (ἐγὼ δ' ἐγὼ) ὡς οἶμαι, οὐκ ἦν ἐπ' Ἀσκληπιοῦ· τεκμαίρομαι ἢ ὅτι αὐτοῦ οἱ υἱεῖς ἐν Τροίᾳ [1] Εὐρυπύλῳ τετρωμένῳ, ἐπ' οἴνου Πραμνίου ἄλφιτα πολλὰ [2] ὀπταθέντα, ἢ τυρὸν ὀπτυθέντα (ἃ δὴ δοκεῖ φλεγματώδη εἶναι) οὐκ ἐμέμψαντο τῇ δόσει πιεῖν, οὐδὲ Πατρόκλῳ τῷ ἰωμένῳ ἐπετίμησαν. Καὶ μὴν δὴ (ἔφη) ἄτοπόν γε τὸ πόμα οὕτως ἔχοντι. Οὐκ· εἶγ' ἐννοεῖς (εἶπον) ὅτι τῇ παιδαγωγικῇ τῶν νοσημάτων ταύτῃ τῇ νῦν ἰατρικῇ τοῦτῳ Ἀσκληπιάδαι οὐκ ἐχρῶντο, ὡς φασι, πρὶν Ἡρόδικον γενέσθαι. Ἡρόδικος γοῦν, παιδοτρίβης ὢν, ἢ νοσώδης γενόμενος, μίξας γυμναστικὴν ἰατρικῇ, ἀπέκναισε πρῶτον μὲν ἢ μάλιστα ἑαυτὸν, ἔπειτ' ἄλλους ὕστερον πολλούς. Πῇ δή; ἔφη. Μακρὸν (ἐγὼ δ'

1 Κορινθίαν κόρην] Luxuriæ infamia adeo laboravit *Corinthus* ut *Corinthiari* dicerentur qui immodice viverent: alludit etiam ad famosam illam mulierem, quæ ingens pretium pro Venere petiit de qua dixit *Diogenes, nolo respicientiam tanti emere.*

2 Εὐρυπύλῳ τετρωμένῳ] Quando *Eurypylus* ab *Alexandro* vulneratus est, statim a bello ad convivium defertur, ubi vinum

ἐγὼ)

las ſolvat pœnas, idque minimarum viliſſimarumque rernm cauſa, ignorans quanto præclarius ac melius eſſet, ita ſe comparare, ut ſomnolentum judicem non deſideret. Certe hoc illo turpius eſt. Abſurdum præterea exiſtimandum eſt, homines medicis egere non ad vulnera ſananda duntaxat, morboſque curandos intemperie aeris, & pro anni tempore aliter atque aliter incidentes, ſed ob deſidiam, & quem in victu ſupra damnavimus luxum, ut homines lacunarum inſtar aqua flatuque exuberantes coegerint præclaros Æſculapii ſucceſſores morbos quoſdam novo nomine flatos & catarrhos appellare. Nova ſane hæc morborum, inquit, nomina, nimiumque abſurda. Hæc, ut arbitror, Æſculapii tempore non erant. Quod hinc conjicio, quod ejus filii apud Trojam poculum Patrocli juſſu a muliere oblatum ſaucio Eurypylo non improbarunt, cum tamen in eo mixta eſſet Pramneo vino farina, & inſuper attritus caſeus, quæ pituitam augent. Profecto abſurdum id poculum, minimeque ita ſe habenti conveniens. Non. Quia ſi advertis, inquam, hac noſtra medendi facultate morborum pædagogica, Æſculapii ſectatores ante Herodicum, ut fertur, minime ſunt uſi. Herodicus autem quum eſſet exercitandorum magiſter juvenum, eſſetque valetudinarius, miſcens gymnaſticam medicinæ, primo quidem ſeipſum, deinde poſteros multos tædio affecit. Quonam pacto? Longam quippe ſibi mor-

Pramneum bibit ita dictum a *Pramne* monte in *Icario*, uvis fœcundo.

Ἐν ῥά σφι κύκησε γυνὴ, εἰκυῖα θεῇσιν
Οἴνῳ Πραμνείῳ, ἐπὶ δ' αἴγειον κνῆ τυρὸν
Κνήστι χαλκείῃ, ἐπὶ δ' ἄλφιτα λευκὰ παλύνε. *Il.* 1.

5 Ἐπιπλασθέντα] Pro ἐπιπλάσθέντα lege ſi velis ἐπιπασθέντα.

ἐγὼ) τὸ θάνατον αὐτῷ ποιήσας. παρακολουθῶν γὰρ τῷ νοσήματι θανασίμῳ ὄντι, οὔτε ἰάσασθαι, οἶμαι, οἷόσ' τε ἦν ἑαυτὸν, ἐν ἀσχολίᾳ τε πάντων ἰατρευόμενος, διὰ βίου ἔζη ἀποκναιόμενος, εἴτι τῆς εἰωθυίας διαίτης ἐκβαίη· δυσθανατῶν δὲ ὑπὸ σοφίας, εἰς γῆρας ἀφίκετο. Καλὸν ἄρα τὸ γέρας (ἔφη) τῆς τέχνης ἠνέγκατο. Οἷον εἰκὸς (ἦν δ' ἐγὼ) τὸν μὴ εἰδότα ὅτι Ἀσκληπιὸς οὐκ ἀγνοίᾳ οὐδὲ ἀπειρίᾳ τούτου τοῦ εἴδους τῆς ἰατρικῆς, τοῖς ἐκγόνοις οὐ κατέδειξεν αὐτὸ, ἀλλ' εἰδὼς ὅτι πᾶσι τοῖς εὐνομουμένοις ἔργον τι ἑκάστῳ ἐν τῇ πόλει προστέτακται, ὃ ἀναγκαῖον ἐργάζεσθαι· καὶ οὐδενὶ σχολὴ διὰ βίου κάμνειν ἰατρευομένῳ· ὃ ἡμεῖς γελοίως ἐπὶ μὲν τῶν δημιουργῶν αἰσθανόμεθα, ἐπὶ δὲ τῶν πλουσίων τε καὶ εὐδαιμόνων δοκούντων εἶναι, οὐκ αἰσθανόμεθα. Πῶς; ἔφη. Τέκτων (ἦν δ' ἐγὼ) κάμνων, ἀξιοῖ παρὰ τοῦ ἰατροῦ φάρμακον πιὼν ἐξεμέσαι τὸ νόσημα· ἢ κάτω καθαρθεὶς, ἢ καύσει ἢ τομῇ χρησάμενος, ἀπηλλάχθαι· ἐὰν δέ τις αὐτῷ μακρὰν δίαιταν προστάττῃ, πιλίδιά τε περὶ τὴν κεφαλὴν περιτιθεὶς καὶ τὰ τούτοις ἑπόμενα, ταχὺ εἶπεν ὅτι οὐ σχολὴ κάμνειν, οὐδὲ λυσιτελεῖ οὕτω ζῆν, νοσήματι τὸν νοῦν προσέχοντα, τῆς δὲ προκειμένης ἐργασίας ἀμελοῦντα· καὶ μετὰ ταῦτα χαίρειν εἰπὼν τῷ τοιούτῳ ἰατρῷ, εἰς τὸν εἰωθυῖαν δίαιταν ἐμβὰς, ὑγιὴς γενόμενος, ζῇ τὰ ἑαυτοῦ πράττων· ἐὰν δὲ μὴ ἱκανὸν ᾖ τὸ σῶμα ὑπενεγκεῖν, τελευτήσας, πραγμάτων ἀπηλλάγη· καὶ τῷ τοιούτῳ μέν γ', ἔφη, δοκεῖ πρέπειν, οὕτω ἰατρικῇ χρῆσθαι. Ἆρ' (ἦν δ' ἐγὼ) ὅτι ἦν τι αὐτῷ ἔργον, ὃ εἰ μὴ πράττοι, οὐκ ἐλυσιτέλει ζῆν; Δῆλον, ἔφη. Ὁ δὲ δὴ πλούσιος, ὡς φαμὲν, οὐδὲν ἔχει τοιοῦτον ἔργον προκείμενον, οὗ ἀναγκαζομένῳ ἀπέχεσθαι, ἀβίωτον. Οὔκουν δὴ λέγεταί γε. Φωκυ-

λίδου

tem præſtitit. Nam dum morbum qui letalis erat, ſubſequeretur, neque curare, ut opinor, ſe poterat, & medelæ ſtudio occupatus, omiſſis reliquis omnibus, vitam in hac corporis indulgentia conterebat, male quidem affectus ſi paulo a conſueto victu diſcederet, ægre tamen moriens, hac ſapientia ad ſenectutem pervenit. Egregiam inquit, palmam ex arte ſua reportavit nempe inquam, quam decebat reportare illum, qui ignorabat Æſculapium non ignorantia quidem & imperitia hujus medendi formæ poſteris hoc non oſtendiſſe: ſed quoniam videbat in civitate optime inſtituta, ſuum cuique opus aſſignatum eſſe, quod perfici neceſſe ſit, nec ulli ſupereſſe otium, ut per omnem vitam valetudinarius in corpore curando occupetur. Quod quidem modo quodam ridiculo in artificibus animadvertimus: in illis vero, qui opulenti feliceſque cenſentur, nequaquam. Quomodo iſtud? Faber ſiquando in morbum incidit, a medico curationem exigit, vel per vomitum, vel dejectionem ventris, vel uſtionem vel inciſionem. Si quis autem diuturnam illi victus obſervationem præcipit, capitiſque ſuffarcinationes, cæteraque hujuſmodi, ſtatim objicit non eſſe ſibi ad ægrotandum otium, neque præſtare ſibi ita vitam trahere continuis curationibus incumbenti, ſuumque opificium negligenti. Deinde medico hoc valere juſſo, ad conſuetum victum revertens ſi convaleſcit, opus ſuum exequitur: ſin autem ſuſtinere corpus morbum non poteſt, vita functus negotiis liberatur. Ita profecto medicinis uti artifici convenire videtur. Atque idcirco opus illi propoſitum eſſe dixi, quod niſi peragat, vivere ipſi non expedit. Conſtat. Dives autem, ut diximus, opere nullo urgetur, a quo ſi quando vi arceatur, non amplius ſit ei vivendum. Nullo prorſus, ut fertur.

λίδᾳ γ' (ἐμοὶ δ' ἐγῳ) οὐκ ἀκούεις πῶς φησι, δεῖν ὅταν τῳ ἤδη βίος ᾖ, ἀρετὴν ἀσκεῖν. Οἶμαί γ', ἔφη, ἐγὼ ὕστερον. Μηδὲν (εἶπεν) περὶ τούτου αὐτῷ μαχώμεθα· ἀλλ' ἡμᾶς αὐτοὺς διδάξωμεν, πότερον μελέτητέον τοῦτο τῷ πλουσίῳ, καὶ ἀβίωτον τῷ μὴ μελετῶντι, ἢ νοσοτροφία· πεντοντικῇ μὲν γὰρ καὶ ταῖς ἄλλαις τέχναις ἐμπόδιον τῇ περιουσίᾳ τοῦ νῦν· τὸ δὲ φαυλίδιον παραγγέλευμα, οὐδὲν ἐμποδίζει. Ναὶ μὰ τὸν Δία, ἦ δ' ὅς· ἡδὺ δέ τι πάντων μάλιστα, εἴ γε περαιτέρω γυμναστικῆς ἡ περιττὴ αὕτη ἐπιμέλεια τοῦ σώματος· καὶ γὰρ καὶ πρὸς οἰκονομίας, καὶ πρὸς στρατείας, καὶ πρὸς ἑδραίους ἐν πόλει ἀρχὰς δύσκολος· τὸ δὲ δὴ μέγιστον, ὅτι καὶ πρὸς μαθήσεις ἀπαρασκεύῳ, καὶ ἐννοήσεις τε καὶ μελέτας πρὸς ἑαυτὸν, χαλεπή. κεφαλῆς πᾶς οἰεὶ ἀθρόας καὶ ἰλίγγους ἐπιτρέπουσα, καὶ αἰσθομένη ἐκ φιλοσοφίας ἐγγίγνεσθαι· ὥστε ἴσθι αὐτὴν, ἀρετῇ ἀσκεῖσθαι καὶ δοκιμάζεσθαι πάντη ἐμπόδιον· κάμνειν γὰρ οἷόν τε ποιεῖ αἰεί, καὶ ὀδυνώμενον μήποτε λήγειν περὶ τὸ σῶμα τος. Εἰκός γ', ἔφη. Οὐκοῦν ταῦτα γιγνώσκοντα φῶμεν καὶ Ἀσκληπιὸν, τοὺς μὲν φύσει τε καὶ διαίτῃ ὑγιεινὰς ἔχοντας τὰ σώματα, νόσημα δέ τι ἐπικεκριμένον ἴσχοντας ἐν αὐτοῖς, τούτοις μὲν καὶ ταύτῃ τῇ ἕξει καταδεῖξαι ἰατρικήν· φαρμάκοις τε καὶ τομαῖς τὰ νοσήματα ἐκβάλλοντα αὐτῶν, τὴν εἰωθυῖαν προσήκουσαν δίαιταν, ἵνα μὴ τὰ πολιτικὰ βλάπτοιτο· τοὺς δ' εἴσω παντὸς νενοσηκότα σώματα οὐκ ἐπιχειρεῖν διαίταις κατὰ μικρὸν ἀπαλλάττειν καὶ ἐπισπᾶσθαι, μακρὸν καὶ κακὸν βίον ἀνθρώπῳ ποιεῖν, καὶ ἔκγονα αὐτῶν, ὡς τὸ εἰκὸς, ἕτερα τοιαῦτα φυλάττειν· ἀλλὰ τὸν μὴ δυνάμενον ἐν τῇ καθεστηκυίᾳ πρόσθεν

ζῆν

fertur. Phocylidem forte non audis dicentem, Oportet virtutem exercere, dum vivendi facultas ſuppetit. Arbitror autem & prius. Nihil in hoc illi adverſemur, ſed ipſi nos doceamus, utrum id hoc pacto meditari dives debeat: aut ſi minus in alendis morbis tempus terat, non ſit illi vivendum. Fabrili ſiquidem arti ac cæteris impedimento id eſt. Eam ab opere mentem divertit. Præceptum vero Phocylidis nihil impedit. Per Jovem, inquit, ferme omnium maxime, ſiquidem magis quam gymnaſtica ſupervacua iſta curatio temporis, nos occupat. Etenim rei familiari & militari, & urbanis omnibus magiſtratibus obeſt plurimum: quod autem maximum eſt, diſcendi ſtudium, & omnem intelligendi meditandique diligentiam impedit, dum capitis dolores ſemper & vertigines ſuſpicatur: ſtudiumque ſapientiæ cauſatur, quaſi ex eo iſta naſcantur. Quamobrem ad virtutis exercitationem, probationemque nobis omnino impedimento eſt. Efficit enim ut ſemper nos ægrotare putemus, neque deſinamus unquam de habitu corporis queri. Conſentaneum eſt. Hæc cum videret, arbitror Æſculapium, hominibus natura educationeque bene valentibus, deinde vero morbo quodam exterius lato & ſubito ægrotantibus, eam oſtendiſſe medicinam qua pharmacis & inciſionibus infirmitas tolleretur, videlicet conſueto, & ſolito victu ſervato, ne civilia negotia diſturbarentur. Corpora vero penitus interiori corruptione valetudinaria nequaquam aggreſſum fuiſſe, ratione victus ſenſim exhauriendo & infundendo vitam malam producere, ita ut valetudinarios, quod inde ſequitur, filios generarent. Neque vero cenſuit curandum qui non poſſet in conſtituto & ſolito victu

ζῆν, μὴ οἴεσθαι δεῖν θεραπεύειν, ὃς οὔτε αὑτῷ, οὔτε πόλει λυσιτελεῖ. Πολιτικὸν ἔφη) λέγεις Ἀσκληπιόν. Δῆλον, ὦ δ' ἐγώ· ἢ οἱ παῖδες αὐτοῦ δεικνύοιεν ἂν ὅπι τοιοῦτος ὢν· ἢ οὐχ ὁρᾷς ὡς καὶ ἐν Τροίᾳ ἀγαθοὶ περὶ τὸν πόλεμον ἐφάνησαν, καὶ τῇ ἰατρικῇ ὡς ἐγὼ λέγω ἐχρῶντο; ἢ γὰρ μέμνησαι ὅτι καὶ τῷ Μενέλεῳ, ἐκ τοῦ τραύματος ᾧ ὁ Πάνδαρος ἔβαλεν,

Αἷμ' ἐκμυζήσαντ' ἐπί τ' ἤπια Φάρμακ' ἔπασσον;

ὅ, τι δ' ἐχρῆν μετὰ τοῦτο ἢ πιεῖν ἢ φαγεῖν, οἶδεν μᾶλλον ἢ τῷ Εὐρυπύλῳ παρατέθαπτον· ὡς ἱκανῶν ὄντων τῶν φαρμάκων ἰάσασθαι ἄνδρας πρὸ τῶν τραυμάτων ὑγιεῖς τε καὶ κοσμίους ἐν ἡδονῇ, κἂν εἰ τύχοιεν ἐν τῷ παραχρῆμα κυκεῶνα πόντες· νοσώδη δὲ φύσει τε καὶ ἀκόλαστον, οὔτε αὐτοῖς οὔτε τοῖς ἄλλοις ὤοντο λυσιτελεῖν ζῆν· οὐδ' ἐπὶ τούτοις τοῖς τέχνοις δεῖν εἶναι, οὐδὲ θεραπευτέον αὐτούς· οὐδ' εἰ Μίδου πλουσιώτεροι εἶεν. Πάνυ κομψοὺς (ἔφη) λέγεις Ἀσκληπιοῦ παῖδας. Πρέπει, ἦν δ' ἐγώ· καίτοι ἀπειθοῦντές γε ἡμῖν οἱ τραγῳδοποιοὶ, καὶ Πίνδαρος, τὸν Ἀπόλλωνος μὲν φασιν Ἀσκληπιὸν εἶναι, ὑπὸ δὲ χρυσὸν πεισθῆναι, πλοῦσιον ἄνδρα θνητὸν ἤδη ὄντα ἰάσασθαι· ὅθεν δὴ καὶ κεραυνωθῆναι αὐτόν· ἡμεῖς δὲ, κατὰ τὰ πρόσθεν ἡμῖν εἰρημένα, οὐ πειθόμεθα αὐτοῖς ἀμφότερα· ἀλλ' εἰ μὲν θεὸν ἦν, οὐκ ἦν (φήσομεν) αἰσχροκερδής· εἰ δ' αὖ-

1 Αἷμ' ἐκμυζήσαντ'] *Homeri* Iliad. 4.

2 Ἀπόλλωνος μὲν φασὶν] Æſculapius ut ait *Pindarus* filius eſt Nymphæ *Coronidis* ab *Apolline*, ἀκηρατον κόμᾳ μιχθεῖσα Φοίβῳ, qui Corruptus auro mortuos ad vitam revocare auſus, fulmine percuſſus a Jove. En poetam,

Ἔτραπε καὶ κεῖνον ἀγάνορι μισθῷ χούσεος ἐν χερσὶν φανείς,
Ἄνδρ' ἐκ θανάτοιο κομίσαι,
Ἤδη ἀλωκότα· χερσὶ δ' ἄρα Κρονίων,
Ῥίψας δι' ἀμφοῖν ἀμπνοὰν
Σπέρων καθεῖλεν,
Ὠκέως αἶψα δ' κεραυνὸς ἐνέσκηψε μόρον. Πυθ. 5.

Pervertit & illum ingenti mercede aurum in manibus ap-

χρυ-

ctu ac regula vivere, tanquam neque illi ipsi, neque civitati id conferret. Civilem virum dicis Æsculapium extitisse. Constat plane, filiique ipsius talem eum fuisse testantur. An ignoras illos apud Trojam in rebus bellicis claruisse? quanquam & medicinæ studio, quemadmodum ego dicebam, utebantur. Non meministi quod Menelao Pandari manibus vulnerato, *cruorem vulneris absterserunt & unguentis mitigantibus perunxere:* legem vero certam circa cibos ac potus nihilo magis quam Eurypylo præscripserunt quasi pharmaca ad curandos sufficerent homines, qui ante accepta vulnera & firmi corporis habitu & victu moderati fuissent, quamvis eo ipso temporis momento bibissent? homines autem & natura & incontinentia morbosos vivere, neque iis ipsis, neque aliis conferre putabant, neque circa illos versari artem, neque esse curandos, etiam si Mida locupletiores essent. Scitos admodum viros fuisse perhibes Aesculapii filios. Decet sane: quanquam nobis tragici & Pindarus parum astipulentur. Aesculapium enim ferunt Apollinis filium extitisse, atque auro inductum ut hominem pecuniosum cum extrema ægritudine ad mortem ferente opprimeretur, curaret. Unde & fulmine percussum. Sed nos propter illa quæ supra dixi-

parens,
Virum e morte ut reduceret
Jam captum. Manibus igitur Saturnius
Jaculatus per utrumque respirationem,
Pectorum abstulit
Celeriter: ardensque fulmen inflixit Mortem. Pyth. 3.

variæ sunt opiniones de illo quem a Morte revocavit. Alii dicunt fuisse *Hyppolytum*, alii *Tyndarum*, alii vero *Capaneum*. Illi *Glaucum* asserunt, illi *Hymenæum*, rursum alii dicunt *Pratidas*, ait *Philarchus* cum sanasse *Phœnidas* lethali morbo tantum laborantes, quod huic loco consentaneum est.

mus

χροκερδὴς, οὐκ ἦν θεοῦ. Ὀρθότατά γε (ἦ δ' ὃς) ταῦτά γε· ἀλλὰ περὶ τοῦδε τί λέγεις ὦ Σώκρατες; ἆρ' οὐκ ἀγαθοὺς δεῖ ἐν τῇ πόλει κεκτῆσθαι ἰατρούς; εἶεν δ' ἄν που μάλιστα τοιοῦτοι, ὅσοι πλείστους μὲν ὑγιεινοὺς, πλείστους δὲ νοσώδεις μετεχειρίσαντο; καὶ δικασταὶ αὖ ὡσαύτως, οἱ παντοδαπαῖς φύσεσιν ὡμιληκότες; Καὶ μάλα (εἶπον) ἀγαθοὺς λέγω· ἀλλ' οἶσθα οὓς ἡγοῦμαι τοιούτους; Ἂν εἴπῃς, ἔφη. Ἀλλὰ πειράσομαι, ἦν δ' ἐγώ· σὺ μέντοι οὐχ ὅμοιον πρᾶγμα τῷ αὐτῷ λόγῳ ἤρου. Πῶς; ἔφη. Ἰατροὶ μὲν (εἶπον) δεινότατοι ἂν γένοιντο, εἰ ἐκ παίδων ἀρξάμενοι, πρὸς τὸ μανθάνειν τὴν τέχνην, ὡς πλείστοις τε καὶ πονηροτάτοις σώμασιν ὁμιλήσειαν, καὶ αὐτοὶ πάσας νόσους κάμοιεν, καὶ εἶεν μὴ πάνυ ὑγιεινοὶ φύσει· οὐ γὰρ, οἶμαι, σώματι σῶμα θεραπεύουσιν· (οὐ γὰρ ἂν αὐτὰ ἐνεχώρει κακὰ εἶναι ποτὲ καὶ γενέσθαι) ἀλλὰ ψυχῇ σῶμα, ᾗ οὐκ ἐγχωρεῖ κακὴν γενομένην τε καὶ οὖσαν, εὖ τι θεραπεύειν. Ὀρθῶς, ἔφη. Δικαστὴς δέ γε, ὦ φίλε, ψυχῇ ψυχῆς ἄρχει· ᾗ οὐκ ἐγχωρεῖ ἐκ νέας ἐν πονηραῖς ψυχαῖς τετράφθαι τε καὶ ὡμιληκέναι, καὶ πάντα ἀδικήματα αὐτὴν ἠδικηκυῖαν διεξεληλυθέναι, ὥστε ὀξέως ἀφ' αὑτῆς τεκμαίρεσθαι τὰ τῶν ἄλλων ἀδικήματα, οἷον κατὰ σῶμα νόσους· ἀλλ' ἄπειρον αὐτὴν καὶ ἀκέραιον δεῖ κακῶν ἠθῶν νέαν οὖσαν γεγονέναι, εἰ μέλλει, καλὴ καγαθὴ οὖσα, κρινεῖν ὑγιῶς τὰ δίκαια· διὸ δὴ καὶ εὐήθεις, νέοι ὄντες, οἱ ἐπιεικεῖς φαίνονται, καὶ εὐεξαπάτητοι ὑπὸ τῶν ἀδίκων, ἅτε οὐκ ἔχοντες ἐν ἑαυτοῖς παραδείγματα ὁμοιοπαθῆ τοῖς πονηροῖς. Καὶ μὲν δὴ (ἔφη) σφόδρα γε αὐτὸ πάσχουσι. Τοιγάρτοι (ἦν δ' ἐγὼ) οὐ νέον ἀλλὰ γέροντα δεῖ τὸν ἀγαθὸν δικαστὴν εἶναι, ὀψιμαθῆ γεγονότα τῆς ἀδικίας, οἷόν ἐστιν· οὐκ οἰκείαν ἐν τῇ αὑτοῦ ψυχῇ ἐνοῦσαν

ἠσθη-

mus, illis hæc utraque non concedimus. Imo ſi dei filius fuit, lucri turpis avidum fuiſſe negabimus: ſin turpis avidus lucri, dei fuiſſe filium rejiciemus. Probe quidem iſta dicuntur. Sed de hoc quid ais, ô Socrates? An non bonos medicos habere oportet in civitate? Eſſent autem tales maxime, quicunque fuiſſent cum ſanis plurimis, plurimiſque ægrotantibus converſati. Judices item ſimiliter, qui varia hominum ingenia eſſent experti. Et valde quidem bonos dico. Sed num intelligis quos tales eſſe arbitror? Si dixeris. Tentabo equidem. Tu tamen non ſimilem rem ſermone eodem interrogabas. Qua ratione? Medici quidem præſtantiſſimi evaderent, ſi ab ineunte ætate præter diſcendæ artis ſtudium inter plurimos corpore male affectos converſarentur, ipſique omni morborum genere laborarent, naturaque imbecilli eſſent. Neque enim corpus, ut arbitror, corpore curant. Impoſſibile nanque eſſet, ipſa mala quandoque vel fuiſſe, vel eſſe: ſed anima corpus curat. An non fieri poteſt, ut quæ fuerit ſitque mala, bene aliquid curet? Recte quidem. Judex autem, ô amice, animo imperat. Nonne poſſibile eſt a pueritia aliquem cum malis animis converſatum, & injuſta quæque facinora operatum, acute denique ex ſeipſo aliorum ſcelera conjectare, quemadmodum ex ipſo corpore morbos? Num inſontem ipſum imperitumque malorum, dum eſſet juvenis, extitiſſe oportet, ſi bonus & honeſtus exiſtens juſta ſyncere eſt judicaturus? Quapropter modeſti homines, dum juvenes ſunt, ſtolidi eſſe videntur, & qui facile ab injuſtis decipi poſſint, tanquam qui non habeant in ſeipſos eadem quæ habent improbi, affectuum exempla malorum. Omnino certe

ἠσθημένον, ἀλλ', ἀλλοτρίαν ἐν ἀλλοτρίαις μεμελετηκότα ἐν πολλῷ χρόνῳ, διαισθάνεσθαι οἷον πέφυκε κακὸν ἐπιστήμῃ, οὐκ ἐμπειρίᾳ οἰκείᾳ κεχρημένον. Γενναιότατος γοῦν (ἔφη) ἔοικεν εἶναι ὁ τοιοῦτος δικαστής. Καὶ ἀγαθὸς γε· (ἦν δ' ἐγὼ) ὃ σὺ ἠρώτας· ὁ γὰρ ἔχων ψυχὴν ἀγαθὴν, ἀγαθός· ὁ δὲ δεινὸς ἐκεῖνος καὶ καχύποπτος, ὁ πολλὰ αὐτὸς ἠδικηκὼς, καὶ πανοῦργός τε καὶ σοφὸς οἰόμενος εἶναι, ὅταν μὲν ὁμοίοις ὁμιλῇ, δεινὸς φαίνεται, ἐξευλαβούμενος, πρὸς τὰ ἐν αὑτῷ παραδείγματα ἀποσκοπῶν· ὅταν δὲ ἀγαθοῖς καὶ πρεσβυτέροις ἤδη πλησιάσῃ, ἀβέλτερος αὖ φαίνεται, ἀπιστῶν παρὰ καιρὸν, καὶ ἀγνοῶν ὑγιὲς ἦθος, ἅτε οὐκ ἔχων παραδείγματα τοῦ τοιούτου· πλεονάκις δὲ πονηροῖς ἢ σοφοῖς ἐντυγχάνων, σοφώτερος ἢ ἀμαθέστερος δοκεῖ εἶναι αὑτῷ τε καὶ ἄλλοις. Παντάπασι μὲν οὖν (ἔφη) ἀληθῆ. Οὐ τοίνυν (ἦν δ' ἐγὼ) τοιοῦτον χρὴ τὸν δικαστὴν ζητεῖν τὸν ἀγαθὸν τε καὶ σοφὸν, ἀλλὰ τὸν πρότερον· πονηρία μὲν γὰρ ἀρετήν τε καὶ αὑτὴν οὔ ποτ' ἂν γνοίη, ἀρετὴ δὲ φύσεως παιδευομένης χρόνῳ, ἅμα αὑτῆς τε καὶ πονηρίας ἐπιστήμην λήψεται· σοφὸς οὖν οὗτος, ὥς μοι δοκεῖ, ἀλλ' οὐχ ὁ κακὸς γίγνεται. Καὶ ἐμοὶ, ἔφη, ξυνδοκεῖ. Οὐκοῦν καὶ ἰατρικὴν οἵαν εἴπομεν μετὰ τῆς τοιαύτης δικαστικῆς κατὰ πόλιν νομοθετήσεις, αἳ τῶν πολιτῶν σοὶ τοὺς μὲν εὐφυεῖς τὰ σώματα καὶ τὰς ψυχὰς θεραπεύσουσι, τοὺς δὲ μὴ, ὅσοι μὲν κατὰ σῶμα τοιοῦτοι, [1] ἀποθνήσκειν ἐάσουσι, τοὺς δὲ κατὰ τὴν ψυχὴν κακοφυεῖς καὶ ἀνιάτους αὐτοὶ ἀποκτενοῦσι. Τὸ

1 Ἀποθνήσκειν ἐάσουσι] Istæ Barbarorum Reipublicæ quæ minus pacis artibus quam bellicis virtutibus constabant, senes omnes & corpore infirmos devorandos, vel aliquo modo trucidandos exponere sunt solitæ, & ni fallor temporibus *Lycurgi* cujus πολιτεία tota erat militaris, omnes infantes qui aliquod in Corpore habebant vitium, & Helotæ sive agrorum cultores,

γοῦν

te id eis uſu venit. Verum enim vero non juvenem, ſed ſenem eſſe bonum oportet judicem, qui ſero quale quid injuſtitia ſit, didicerit: tanquam qui non propriam in animo ſuo eam ſenſerit, ſed alienam in alienis animis longo tempore noverit, atque idcirco cujuſmodi ſit malum diſcernat, ſcientia potius quam propria experientia judicans. Generoſiſſimus certe judex hujuſmodi eſſe videtur. Et bonus præterea, quod ipſe quærebas. Qui enim bonum habet animum, bonus eſt. Verſutus autem ille ac mala ſuſpicans, qui multa egit injuſte, ſagaxque & ſapiens habetur, quando cum ſui ſimilibus verſatur cautus callidùſque apparet, cum ad exempla quæ in ſe habet mentem dirigens ſibi ſatis cavet. Quando vero bonis ſenioribuſque adhæret, fatuus videtur: cum importune diffidat ſanumque & ſyncerum morem ignoret, quippe qui exempla illius non habeat. Cum vero frequentius cum malis quam cum ſapientibus verſetur, ſæpius quoque ſapientior quam inſipientior ſibi aliiſque videtur. Vera proculdubio loqueris. Non ergo talem quærere oportet judicem tanquam bonum & ſapientem, ſed qualem paulo ante dicebam. Pravitas enim neque ſe, neque virtutem cognoſceret unquam. Virtus autem naturæ addita tempore diſciplina, & ſeipſam ſimul, & pravitatem intelliget. Non igitur malus, ut mea fert opinio, ſed hic ſapiens evadit. Mihi quoque ita videtur. Nonne igitur & medicinam qualem diximus, una cum hujuſmodi judiciaria æquitate in civitate conſtitues,

ne nimium in modum creſcerent trucidati ſunt. Sed *Plato* jubet non ut Infantes, quorum Natura non poterat dignoſci, ſed adulti quorum Natura & mores pravi erat & corrupti, ut animalia infeſta morte mnltentor, quum ſint tales quales deſcribit *Ariſtoph.*

Οἱ γε πίνειν οἴδασι ϑ' βιοῦν μόνον.

Quibus in ſolo vivendi cauſa palato eſt. Juv. Sat. II.

γρωῦ ἄμεινον (ἔφη) αὐτοῖς τε τοῖς πάσχουσι καὶ τῇ πόλει οὕτω πέφανται. Οἱ δὲ δὴ νέοι (ἦν δ' ἐγὼ) δῆλον ὅτι βλαβήσονταί σοι δικαστικῆς εἰς χρείαν ἰέναι, τῇ ἁπλῇ ἐκείνῃ μουσικῇ χρώμενοι ἣν δὴ ἔφαμεν σωφροσύνην ἐντίκτειν. Τί μήν; ἔφη. Ἆρ' οὖν ὁ κατὰ ταύτὰ ἴσχνη ταῦτα ὁ μουσικὸς γυμναστικὴν διώκων, ἐὰν ἐθέλῃ αἱρήσῃ, ὥστε μηδὲν ἰατρικῆς δεῖσθαι, ὅτι μὴ ἀνάγκη; Ἔμοιγε δοκεῖ. Αὐτά γε μὴν τὰ γυμνάσια καὶ τοὺς πόνους, πρὸς τὸ θυμοειδὲς τῆς φύσεως βλέπων, καὶ ἐκεῖνο ἐγείρων, πονήσῃ μᾶλλον ἢ πρὸς ἰσχύν· οὐχ, ὥσπερ οἱ ἄλλοι ἀθληταί, ῥώμης ἕνεκα σιτία καὶ πόνους μεταχειριεῖται. Ὀρθότατα, ἦ δ' ὅς. Ἆρ' οὖν (ἦν δ' ἐγὼ) ὦ Γλαύκων, καὶ οἱ καθιστάντες μουσικῇ καὶ γυμναστικῇ παιδεύειν, οὐχ οὗ ἕνεκα τινὲς οἴονται καθιστᾶσιν, ἵνα τῇ μὲν τὸ σῶμα θεραπεύοιντο, τῇ δὲ τὼ ψυχώ. Ἀλλὰ τί μήν; ἔφη.

[1] Κινδυνεύουσιν (ἦν δ' ἐγὼ) ἀμφότερα τῆς ψυχῆς ἕνεκα τὸ μέγιστον καθιστάναι. Πῶς δή; Οὐκ αἰσθάνει (εἶπον) ὡς διατίθεται αὐτὼ τὴν διάνοιαν, οἱ ἂν γυμναστικῇ μὲν διὰ βίου ὁμιλήσωσι, μουσικῆς δὲ μὴ ἅψωνται; ἢ ὅσοι ἂν τἀναντία διατεθῶσι; Τίνος δὲ (ἦ δ' ὅς) πέρι λέγεις; Ἀγριότητός τε καὶ σκληρότητος, καὶ αὖ μαλακίας τε καὶ ἡμερότητος, ἦν δ' ἐγώ. Ἔγωγε (ἔφη) ὅτι οἱ μὲν γυμναστικῇ ἀκράτῳ χρησάμενοι, ἀγριώτεροι τοῦ δέοντος ἀποβαίνουσιν· οἱ δὲ μουσικῇ, μαλακώτεροι αὖ γίγνονται ἢ ὡς κάλλιον αὐτοῖς. Καὶ μὴν (ἦν δ' ἐγὼ) τό γε ἄγριον, τὸ θυμοειδὲς ἂν τῆς φύσεως παρέχοιτο· καὶ ὀρθῶς μὲν τραφέν, ἀνδρεῖ-

1 Κινδυνεύουσι (ἦν δ' ἐγὼ)] Copiosissimi Sermonis hactenus explicati, a fine libri primi usque ad hunc locum, applicatio de Custodis nimirum institutione, quem ut res variæ vel cum

quæ quidem eos cives qui natura, tum animo, tum corpore bene ſe habent, curabunt: eos vero qui non ſunt ejuſmodi corpore præditi, mori ſinant: qui vero malo ingenio procreati, inſanabiles ſunt, morte mulctent? Hoc igitur & ipſis qui talia patiuntur, & civitati conducere videtur. Conſtat quinetiam curaturos juvenes ne in judiciariæ uſum deſcendant, ſimplici illa utentes muſica, ex qua naſci diximus temperantiam. Cur non? An non per eadem hæc veſtigia muſicus gymnaſticam ſequens, ſi volet, aget, aſſequeturque ut nihil egeat medicina, niſi neceſſitas cogat? Aſſentior equidem. Exercebit autem in gymnaſiis corpus, reſpiciens magis ad animoſitatem naturæ, illamque excitans, quam ad robur: neque quemadmodum Athletæ alii roboris gratia victum inſtituet, laboreſque adhibebit. Recte admodum. Qui ergo ſtatuunt, ô Glauco, muſica & gymnaſtica homines erudire, non ea cauſa qua multi exiſtimant, ſtudia hæc aggrediuntur, ut hac quidem corpus, illa animum curent. Cur non?

Videntur enim utraque animi gratia plurimum exercere. Quo pacto? An non vides ut afficiant animum qui gymnaſticam per omnem vitam exercent, muſicam non attingunt, vel qui aliter affecti ſunt? De quonam dicis? De ruſtica inquam, duritia ferocitateque atque item de mollitie, & manſuetudine. Novi equidem inquit, eos qui ſola utuntur gymnaſtica, agreſtiores, quam oportet evadere. Qui autem duntaxat muſica, molliores quam eos deceat, effici. Atqui vis ipſa, inquam, agreſtis ad iracundæ naturæ animoſitatem pertinet: quæ ſi recte nutritur, fortis evadit: ſin autem ſupra quam decet,

hoſtibus vel civibus tractandæ ſunt, ſagax, mitis, vehemens, & ferox oportet eſſe.

ον ἂν εἴη· μᾶλλον δ' ἐπιταθὲν τοῦ δέοντος, σκληρότερόν τε καὶ χαλεπὸν γίγνοιτ' ἄν, ὡς τὸ εἰκός. Δοκεῖ μοι, ἔφη. Τί δέ; τὸ ἥμερον οὐχ ἡ φιλόσοφος ἂν ἔχοι φύσις; καὶ μᾶλλον μὲν ἀνεθέντος αὐτοῦ, μαλακώτερον ἂν εἴη τοῦ δέοντος, καλῶς δὲ τραφέντος, ἥμερόν τε καὶ κόσμιον; Ἔστι ταῦτα. Δεῖν δέ γε φαμὲν τοὺς φύλακας ἀμφότερα ἔχειν τούτω τὼ φύσεε. Δεῖ γάρ. Οὐκοῦν ἡρμόσθαι δεῖ αὐτὰς πρὸς ἀλλήλας. Πῶς δ' οὔ; Καὶ τοῦ μὲν ἡρμοσμένου σώφρων τε καὶ ἀνδρεία ἡ ψυχή. Πάνυ γε. Τοῦ δὴ ἀναρμόστου, δειλὴ καὶ ἄγροικος. Καὶ μάλα. Οὐκοῦν, ὅταν μὲν τὶς μουσικῇ παρέχῃ καταυλεῖν καὶ καταχεῖν τῆς ψυχῆς διὰ τῶν ὤτων, ὥσπερ διὰ χώνης (ἃς δὴ νῦν ἡμεῖς ἐλέγομεν τὰς γλυκείας τε καὶ μαλακὰς καὶ θρηνώδεις ἁρμονίας) καὶ μινυρίζων τε καὶ γεγανωμένος ὑπὸ τῆς ᾠδῆς διατελῇ τὸν βίον ὅλον, οὗτος τὸ μὲν πρῶτον, εἴτι θυμοειδὲς εἶχεν, ὥσπερ σίδηρον ἐμάλαξε, καὶ χρήσιμον ἐξ ἀχρήστου καὶ σκληροῦ ἐποίησεν· ὅταν δ' ἐπέχων μὴ ἀνίῃ, ἀλλὰ κηλῇ, τὸ μετὰ τοῦτο ἤδη τήκει καὶ λείβει, ἕως ἂν ἐκτήξῃ τὸν θυμὸν, καὶ ἐκτέμῃ, ὥσπερ νεῦρα ἐκ τῆς ψυχῆς, καὶ ποιήσῃ μαλθακὸν αἰχμητήν. Πάνυ μὲν οὖν, ἔφη. Καὶ ἐὰν μέν γε (ἦν δ' ἐγὼ) ἐξ ἀρχῆς φύσιν ἄθυμον λάβῃ, ταχὺ τοῦτο διεπράξατο· ἐὰν δὲ θυμοειδῆ, ἀσθενῆ ποιήσας τὸν θυμὸν, ὀξύρροπον ἀπειργάσατο· ἀπὸ σμικρῶν ταχὺ ἐρηθιζόμενόν τε καὶ κατασβεννύμενον· ἀκρόχολοι οὖν καὶ ὀργίλοι ἀντὶ θυμοειδῶν γεγένηνται, δυσκολίας ἔμπλεῳ. Κομιδῆ μὲν οὖν. Τί δέ ἂν αὖ γυμναστικῇ πολλὰ πονῇ καὶ εὐωχῆται εὖ μάλα, μουσικῆς δὲ καὶ φιλοσοφίας μὴ ἅπτηται, οὐ πρῶτον μὲν εὖ ἴσχων τὸ σῶμα, φρονήματός τε καὶ θυμοῦ ἐμπίπλαται, καὶ ἀνδρειότερος γίνεται αὐτὸς αὑτοῦ; Καὶ μάλα γε. Τί δαί; ἐπειδὰν ἄλλο μηδὲν πράττῃ

excreſcit, ferox, ut conſentaneum eſt, ac dura. Aſſentior. Quid autem? vim ipſam mitem & manſuetam, nonne philoſophi natura habet: quæ ſi nimium remittatur, mollior fit quam decet: bene autem ſi enutritur, manſueta atque modeſta? Eſt ut dicis. Dicebamus autem oportere ipſos cuſtodes utraſque naturas habere. Oportet ſane. Nonne congruere inter ſe & concinere oportet? Quidni? Ejuſque animus in quo hæc conſonant, temperans eſt & fortis? Omnino. Ejus autem animus in quo diſſonant, timidus & agreſtis? Et maxime quidem. Quicunque permittit ut muſica animum ſuum aſſidue circunſonans occupet & demulceat, perque aures veluti per infundibula harmonias infundat, quas ſupra commemoravimus, ſuaves, blandas, molles, ac flebiles, atque ætatem ſuam in cantibus animum delinientibus conſumit, is primum quidem, ſiquid iracundum habebat, tanquam ferrum demollit, & utile ex inutili duroque efficit. Quando autem incumbit diutius, magis demulcet: poſt hoc jam liquefacit animum & reſolvit, donec liquefecerit animoſitatem omnem, excindatque tanquam nervos ex animo ex quo animum quaſi mollem pugnatorem efficit. Sic eſt omnino. Ac ſi a principio (inquam) nacta ſit naturam ſine animi robore, cito hoc perficit. Sin autem animoſum, vires animi frangens ad iram reddit præcipitem, ut minimis quibuſque offenſiunculis irritetur, ac facile iterum reſtinguatur. Unde pro animoſis iracundi atque moroſi effecti ſunt moleſtia & faſtidio pleni. Ita prorſus accidit. Quod ſi quis gymnaſticæ, & conviviis admodum ſe dedat, muſica pliloſophiaque neglectis, primum quidem firmum corporis habitum conſequitur, animi viribus magnitudineque repletur, fortiorque quam eſſet, eva-

τῃ, μηδὲ κοινωνῇ μούσης μηδαμῇ, οὐκ, εἴ τι καὶ ἐν-
ῆν αὐτοῦ φιλομαθὲς ἐν τῇ ψυχῇ, ἅτε οὔτε μαθήματος
γευόμενον οὐδενὸς, οὐ ζητήματος, οὔτε λόγου μετίσχον,
οὔτε τῆς ἄλλης μουσικῆς, ἀσθενές τε καὶ κωφὸν καὶ τυ-
φλὸν γίγνεται, ἅτε οὐκ ἐγειρομένων, οὐδὲ τρεφομένων,
οὐδὲ διακαθαιρομένων τῶν αἰσθήσεων αὐτοῦ; Οὕτως
ἔχει. Μισολόγος δὴ, οἶμαι, ὁ τοιοῦτος γίγνεται καὶ
ἄμουσος· καὶ πειθοῖ μὲν διὰ λόγων οὐδὲν ἔτι χρῆται,
βίᾳ δὲ καὶ ἀγριότητι, ὥσπερ θηρίον, πρὸς πάντα δια-
πράττεται, καὶ ἐν ἀμαθίᾳ καὶ σκαιότητι, μετὰ ἀῤῥυθμίας
τε καὶ ἀχαριστίας, ζῇ. Παντάπασιν (ἦ δ' ὃς) οὕτως
ἔχει· ἐπὶ δὴ δύο ὄντε τούτω, ὡς ἔοικε, δύο τέχνα θε-
ὸν ἔγωγ' ἄν τινα φαίην δεδωκέναι τοῖς ἀνθρώποις,
μουσικήν τε καὶ γυμναστικὴν, ἐπὶ τὸ θυμοειδὲς καὶ τὸ φι-
λόσοφον· οὐκ ἐπὶ ψυχὴν καὶ σῶμα, εἰ μὴ εἴη πά-
ρεργον· ἀλλ' ἐπ' ἐκεῖνο, ὅπως ἂν ἀλλήλοιν ξυναρ-
μοσθῆτον, ἐπιτεινομένω καὶ ἀνιεμένω μέχρι τοῦ προ-
σήκοντος. Καὶ γὰρ ἔοικεν, ἔφη. Τὸν κάλλιστ' ἄρα
μουσικῇ γυμναστικὴν κεραννύντα, καὶ μετριώτατα τῇ
ψυχῇ προσφέροντα, τοῦτον ὀρθότατ' ἂν φαῖμεν εἶ-
ναι τελέως μουσικώτατον καὶ εὐαρμοστότατον, πολὺ μᾶλ-
λον ἢ τὸν τὰς χορδὰς ἀλλήλαις ξυνιστάντα. Εἰκό-
τως γ', ἔφη, ὦ Σώκρατες. Οὐκοῦν καὶ ἐν τῇ πό-
λει ἡμῖν, ὦ Γλαύκων, δεήσει τοιούτου τινὸς ἀεὶ ἐπιστά-
του, εἰ μέλλει ἡ πολιτεία σώζεσθαι; Δεήσει μέν-
τοι ὡς οἷόν τέ γε μάλιστα. Οἱ μὲν δὴ τύποι τῆς
παιδείας τε καὶ τροφῆς οὗτοι ἂν εἶεν· χορείας γὰρ τί ἄν
τις διεξίοι τῶν τοιούτων, καὶ θήρας τε καὶ κυνηγέσια, καὶ
γυμνικοὺς ἀγῶνας καὶ ἱππικούς; σχεδὸν γάρ τι δῆλα δὴ
ὅτι τούτοις ἑπόμενα δεῖ αὐτὰ εἶναι· καὶ οὐκέτι χαλεπὰ
εὑρεῖν· Ἴσως (ἦ δ' ὃς) οὐ χαλεπά. Εἶεν, ἦν δ' ἐ-
γώ· τὸ δὴ μετὰ τοῦτο, τί ἂν ἡμῖν διαιρετέον εἴη;

ἆρ'

dit. Valde quidem. Deinde ſi in hoc ita perſeveret ut nihil aliud agat, neque muſicam prorſus attingat, certe ſi quis erat ejus in animo inſtinctus diſcendi flagrans cupiditate, imbecillus, ſurdus, ac cæcus efficitur: utpote qui neque doctrinam guſtaverit ullam; neque indagationem rerum, neque ullam penitus rationem, neque muſicam aliam unde illius ſenſus expergiſci potuerit, alique, & purgari. Sic plane. A ratione, ut arbitror, vir hujuſmodi, & a muſis redditur alienus, ac nulla alterius perſuaſione rationibus inducta utitur: ſed vi & agreſti immanitate tanquam fera quædam ad omnia fertur, inque inſcitia & ruditate ſine concinnitate & gratia vivit. Omnino ſic ſe res habet. Ad hæc igitur duo, ut apparet, artes duas aſſererem deum aliquem hominibus tribuiſſe, muſicam & gymnaſticam, ad animoſitatem, videlicet, philoſophicamque naturam, non ad animum & corpus, niſi per accidens fuerit, ſed ad illud, ut inter ſe conſonarent, intenſa atque remiſſa, quatenus deceat. Sic apparet. Eum igitur qui pulcherrime gymnaſticam cum muſica miſcet, moderatiſſimeque hæc animo adhibet, merito abſolutiſſimum muſicum diceremus, & ſumma harmonia compoſitum, multo magis quam eum qui chordas temperat. Et merito quidem, ô Socrates. Nonne ergo hujuſmodi aliquo præſide ſemper in civitate nobis opus erit Glauco, ſi ſalva reſpublica futura eſt? Erit certe ſommopere. Hi ergo diſciplinæ educationiſque modi eſſent. Choreas enim hujus generis eſſe recte dicat aliquis, venationeſque tum alias, tum quæ manibus fiunt, gymnica denique certamina & equeſtria. Ferme enim conſtat ſequi hæc iſta debere, neque inventu difficilia eſſe. Forte non ſunt difficilia. Age inquam. Quid nobis diſtinguendum? Nonne horum omnium quinam imperare

ἆρ' οὐκ αὐτῶν τούτων οἵτινες ἄρξουσί τε καὶ ἄρξονται; Τί μήν; Οὐκοῦν ὅτι μὲν πρεσβυτέρους τοὺς ἄρχοντας δεῖ εἶναι, νεωτέρους δὲ τοὺς ἀρχομένους, δῆλον; Δῆλον. Καὶ ὅτι γε τοὺς ἀρίστους αὐτῶν; Καὶ τοῦτο. Οἱ δὲ γεωργῶν ἄριστοι ἆρ' οὐ γεωργικώτατοι γίνονται; Ναί. Νῦν δ' ἐπειδὴ φυλάκων αὐτοὺς ἀρίστους δεῖ εἶναι, ἆρ' οὐ φυλακικωτάτους προσήκει εἶναι πόλεως; Ναί. Οὐκοῦν φρονίμους τε εἰς τοῦτο δεῖ ὑπάρχειν καὶ δυνατοὺς, καὶ ἔτι κηδεμόνας τῆς πόλεως; Ἔστι ταῦτα. Κήδοιτο δέ γ' ἄν τις μάλιστα τούτου ὅτυγχάνοι φιλῶν. Ἀνάγκη. Καὶ μὴν τούτό γ' ἂν μάλιστα φιλοῖ, ᾧ ξυμφέρειν ἡγοῖτο τὰ αὐτὰ καὶ ἑαυτῷ· καὶ ὅταν μάλιστα ἐκείνου μὲν εὖ πράττοντος, οἴηται ξυμβαίνειν καὶ ἑαυτῷ εὖ πράττειν, εἰ δὲ μὴ, τοὐναντίον. Οὕτως, ἔφη. Ἐκλεκτέον ἄρ' ἐκ τῶν ἄλλων φυλάκων τοιούτους ἄνδρας, οἳ ἂν σκοποῦσιν ἡμῖν μάλιστα φαίνωνται παρὰ πάντα τὸν βίον, ὃ μὲν ἂν τῇ πόλει ἡγήσωνται ξυμφέρειν, πάσῃ προθυμίᾳ ποιεῖν· ὃ δ' ἂν μὴ, μηδενὶ τρόπῳ πρᾶξαι ἂν ἐθέλειν. Ἐπιτήδειοι γὰρ, ἔφη. Δοκεῖ δή μοι τηρητέον αὐτοὺς εἶναι ἐν ἁπάσαις ταῖς ἡλικίαις, εἰ φυλακικοί εἰσι τούτου τοῦ δόγματος· καὶ μήτε γοητευόμενοι μήτε βιαζόμενοι ἐκβάλλουσιν ἐπιλανθανόμενοι δόξαν τὴν τοῦ ποιεῖν δεῖν ἃ τῇ πόλει βέλτιστα. Τίνα (ἔφη) λέγεις τὴν ἐκβολήν; Ἐγώ σοι (ἔφην) ἐρῶ· φαίνεταί μοι δόξα ἐξιέναι ἐκ διανοίας, ἢ ἑκουσίως ἢ ἀκουσίως· ἑκουσίως μὲν, ἡ ψευδὴς τοῦ μεταμανθάνοντος· ἀκουσίως δὲ, πᾶσα ἡ ἀληθής. Τὸ μὲν τῆς ἑκουσίου, ἔφη, μανθάνω· τὸ δὲ τῆς ἀκουσίου δέομαι μαθεῖν. Τί δέ; οὐ καὶ σὺ ἡγῇ (ἔφην ἐγὼ) τῶν μὲν ἀγαθῶν ἀκουσίως στέρεσθαι τοὺς ἀνθρώπους, τῶν δὲ κακῶν, ἑκουσίως; ἢ οὐ τὸ μὲν ἐψεῦσθαι τῆς ἀληθείας, κακὸν, τὸ δὲ ἀληθεύειν, ἀγαθὸν; οὐ τὸ τὰ ὄντα δοξάζειν, ἀληθεύειν δοκεῖ σοι εἶναι; Ἀλλ' (ἦ δ' ὃς)

debeant. qui parere; Cur non? Conſtat quidem ſeniores imperare oportere, juniores parere. Conſtat profecto. Et hoc liquet, ex his eſſe optimos eligendos. Liquet certe & iſtud. Agricolarum optimi nonne hi ſunt, qui maximam agrorum habent colendorum peritiam? Prorſus. Nunc autem cum ex cuſtodibus optimos eligi oporteat, nonne eos eligere convenit qui maximam cuſtodiendæ civitatis peritiam habent? Eos plane. Prudentes ergo ad hoc eſſe eos oportet, potenteſque, & qui Reipublicæ curam habeant. Eſt ita. Curet autem quiſque maxime id quod maxime diligit neceſſe eſt. Atqui hoc diligit maxime cui conferre eadem ac ſibi exiſtimat, & ex cujus felicitate ſuam arbitratur felicitatem infelicitatemve pendere. Sic eſt. Eligendi igitur ex omnibus cuſtodibus hi maxime qui nobis conſiderantibus videantur per omnem vitam ſummo ſtudio ea facere, quæ e republica eſſe ducunt: quæ vero contra, cavere. Commodiſſimi certe hi ſunt. Obſervandi itaque ſunt, ut arbitror, in ſingulis ætatibus, utrum præceptum hoc ſervent, neque tanquam præſtigiis quibuſdam decepti, neque vi ulla compulſi, ſuique ipſorum obliti ejiciant eam opinionem, qua ea ſola cenſentur agenda, quæ ſunt optima reipublicæ. Quam ejectionem dicis? Dicam tibi: videtur mihi opinio e mente excedere, vel ſponte, vel invite. Sponte quidem, falſas in eo qui dediſcit. Invite autem, vera quæque opinio. Quod de voluntario abſceſſu dicis, intelligo: quod autem de invito, diſcere cupio. Nonne putas bonis homines invite privari, malis autem ſponte? An non mentiri, verumque neſcire malum eſt, vere autem judicare bonum? Nonne opinari ea quæ ſunt, vere putare videtur tibi eſſe. Probe loqueris, mihique vi-

ὃς) ὀρθῶς λέγεις· καὶ μοὶ δοκοῦσιν ἄκοντες ἀληθοῦς δόξης στερίσκεσθαι. Οὐκοῦν κλαπέντες, ἢ γοητευθέντες, ἢ βιασθέντες τοῦτο πάσχουσιν. Οὐδὲν νῦν (ἔφη) μανθάνω. Τραγικῶς (ἦν δ' ἐγὼ) κινδυνεύω λέγειν· κλαπέντας μὲν γὰρ, τοὺς μεταπεισθέντας λέγω καὶ τοὺς ἐπιλανθανομένους· ὅτι τῶν μὲν, χρόνος, τῶν δὲ, λόγος ἐξαιρούμενος λανθάνει· νῦν γάρ που μανθάνεις; Ναί. Τοὺς τοίνυν βιασθέντας λέγω, οὓς ἂν ὀδύνη τις ἢ ἀλγηδὼν μεταδοξάσαι ποιήσῃ. Καὶ τοῦτ', ἔφη, ἔμαθον· καὶ ὀρθῶς λέγεις. Τούς γε μὴν γοητευθέντας (ὡς ἐγῷμαι) κἂν σὺ φαίης εἶναι οἳ ἂν μεταδοξάσωσιν, ἢ ὑφ' ἡδονῆς κηληθέντες, ἢ ὑπὸ φόβου, τὶ δείσαντες. Ἔοικε γὰρ, ἦ δ' ὃς, γοητεύειν πάντα ὅσα ἀπατᾷ. Ὃ τοίνυν ἄρτι ἔλεγον, ζητητέον, τίνες ἄριστοι φύλακες τοῦ παρ' αὐτοῖς δόγματος, ποιητέον τοῦτο ὃ ἂν τῇ πόλει δοκῶσι βέλτιστον εἶναι· τηρητέον δὴ, εὐθὺς ἐκ παίδων προθεμένοις ἔργα ἐν οἷς ἂν τοῦ τοιούτου μάλιστα ἐπιλανθάνοιντο καὶ ἐξαπατῷντο, καὶ τὸν μὲν μνήμονα καὶ δυσεξαπάτητον, ἐγκριτέον, τὸν δὲ μὴ, ἀποκριτέον· ἦ γάρ; Ναί. Καὶ πόνων γε αὖ καὶ ἀλγηδόνων ἀγῶνας αὐτοῖς θετέον ἐν οἷς ταὐτὰ ταῦτα τηρητέον. Ὀρθῶς, ἔφη. Οὐκοῦν (ἦν δ' ἐγὼ) καὶ τρίτου εἴδους τοῦ τῆς γοητείας ἅμιλλαν ποιητέον, καὶ θεατέον, ὥσπερ τοὺς πώλους ἐπὶ τοὺς ψόφους τε καὶ θορύβους ἄγοντες σκοποῦσιν εἰ φοβεροὶ, οὕτω νέους ὄντας εἰς δείματ' ἄττα κομιστέον, καὶ εἰς ἡδονὰς αὖ μεταβλητέον· βασανίζοντας πολὺ μᾶλλον ἢ χρυσὸν ἐν πυρὶ, εἰ δυσγοήτευτος καὶ εὐσχήμων ἐν πᾶσι φαίνεται, φύλαξ αὑτοῦ ὢν ἀγαθὸς καὶ μουσικῆς ἧς ἐμάνθανεν, εὔρυθμόν τε καὶ εὐάρμοστον ἑαυτὸν ἐν πᾶσι τούτοις παρέχων· οἷος δὴ ἂν ὢν, καὶ ἑαυτῷ καὶ πόλει χρησιμώτατος εἴη· καὶ τὸν ἀεὶ ἔν τε παισὶ καὶ νεανίσκοις καὶ ἐν ἀνδράσι βασανιζόμενον, καὶ ἀκήρατον ἐκβαίνοντα, κατα-

videntur homines inviti vera opinione privari. An non vel furtim, vel deceptione, vel vi hoc patiuntur? Neque iſtud intelligo. Tragice loqui videor. Surripi enim opiniones iis dico, qui ſententiam mutant, vel ſenſim tempore oblite-ratam, vel clam adverſa ratione ſubtractam. Nunc intelligis? Intelligo equidem. Vim autem illis in-ferri, quos dolor aut cruciatus aliter ſentire co-gunt. Iſtud intelligo equidem, ac recte dicis. Subduci autem quaſi præſtigiis eos, ut arbitror, tu quoque diceres qui priorem deponunt opinionem, vel voluptate deliniti, vel metu perterrefacti. Vi-dentur ſane quicunque decipiunt, præſtigiis nos ſe-ducere. Quod igitur nuper dicebam, quærendum eſt quinam conſtanter ſervent eam, quæ apud ipſos eſt, ſententiam, id videlicet ſemper agendum eſſe, quod reipublicæ conducere arbitrantur. Obſervan-di ſunt igitur ſtatim a pueritia, eaque illis opera proponenda, ex quibus aliquis maxime præceptum illud obliviſci, fallique poſſit. Atque is qui ſer-vat illud memoriter, neque decipitur, eligendus: qui contra, abjiciendus, an non? Certe. Ergo & labores & dolores illis & certamina opponenda, in hiſque hæc eadem obſervanda. Scite. Nonne ſe-cundum ſpeciem illam tertiam præſtigiorum pug-nandum eſt? & quemadmodum qui inſpicere cu-piunt, nunquid num pulli pavidi ſint, necne, ad ſtrepitum illos, & tumultum ducunt, ſic juniores in terribilia quædam impellendi, atque item oble-ctamenta, in hiſque multo magis quam igne aurum examinandi? ut ita comperiamus, ſi extet aliquis inter eos qui non facile irretiatur, ſitque compo-ſitus in omnibus, ſuiipſius cuſtos optimus, & ejus quam didicit muſicæ conſervator, concinnumque & conſonum ſe in his omnibus prebeat. Qualis vir eſſet & ſibi & patriæ utiliſſimus. Atque is qui

ſemper

ταραττόν ἄρχοντα τῆς πόλεως καὶ φύλακα, καὶ τιμᾶς δοτέον καὶ ζῶντι καὶ τελευτήσαντι, ταφῶν τε καὶ τῶν ἄλλων μνημείων μέγιστα γέρα λαγχάνοντα· τὸν δὲ μὴ τοιοῦτον ἀπωστέον· τοιαύτη τις (ἦν δ' ἐγὼ) δοκεῖ μοι, ὦ Γλαύκων, ἡ ἐκλογὴ εἶναι καὶ κατάστασις τῶν ἀρχόντων τε καὶ φυλάκων, ὡς ἐν τύπῳ, μὴ δι' ἀκριβείας, εἰρῆσθαι. Καὶ ἐμοὶ (ἦ δ' ὅς) οὕτω πη φαίνεται. Ἆρ' οὖν ὡς ἀληθῶς ὀρθόν ἐστιν καλεῖν τούτους μὲν, φύλακας παντελεῖς τῶν τε ἔξωθεν πολεμίων, τῶν τε ἐντὸς φίλων, ὅπως οἱ μὲν μὴ βουλήσονται, οἱ δὲ μὴ δυνήσονται κακουργεῖν· τοὺς δὲ νέους (οὓς δὴ νυνὶ φύλακας ἐκαλοῦμεν) ἐπικούρους τε καὶ βοηθοὺς τοῖς τῶν ἀρχόντων δόγμασιν. Ἔμοιγε δοκεῖ, ἔφη. Τίς ἂν οὖν (ἦν δ' ἐγὼ) μηχανὴ γένοιτο τῶν ψευδῶν τῶν ἐν δέοντι γινομένων; ὧν δὴ νυνὶ ἐλέγομεν γενναῖόν τι εἶναι ψεῦδος πεῖσαι, μάλιστα μὲν καὶ αὐτοὺς τοὺς ἄρχοντας, εἰ δὲ μή, τὸ ἄλλο πόλιν; Ποῖόν τι; ἔφη· Μηδὲν καινὸν (ἦν δ' ἐγὼ) ἀλλὰ Φοινικικόν τι, πεφυκὸς μὲν ἤδη πολλαχοῦ γεγονὸς, ὡς φασιν οἱ ποιηταὶ, καὶ πεπείκασιν· ἐφ' ἡμῶν δὲ οὐ γεγονὸς, οὐδ' οἶδα εἰ γενόμενον ἂν πεῖσαι ἄν, συχνῆς πειθοῦς. Ὡς ἔοικας (ἔφη) ὀκνοῦντι λέξειν. Δόξω δέ σοι (ἦν δ' ἐγὼ) καὶ μάλα εἰκότως ὀκνεῖν, ἐπειδὰν εἴπω. Λέγ', ἔφη, καὶ μὴ φοβοῦ. Λέγω δή· καίτοι οὐκ οἶδα ὁποίᾳ τόλμῃ, ἢ ποίοις λόγοις χρώμενος ἐρῶ· καὶ ἐπιχειρήσω πρῶτον μὲν αὐτοὺς τοὺς ἄρχοντας πείθειν καὶ τοὺς στρατιώτας, ἔπειτα δὲ καὶ τοῦ ἄλλου πόλιν, ὡς ἄρα ἃ ἡμεῖς αὐτοὺς ἐτρέφομέν τε καὶ ἐπαιδεύομεν, ὥσπερ ὀνείρατα

1 Φοινικικὸν τι] *Phœnices* ſe e terra prognatos aiebant, ut ab ejuſdem generis communitate, concordiam pacemque mutuam ſanctius tuerentur, in hoc loco putant nonnulli *Judaicam* doctrinam de formatione hominis, eſſe oblique notatam. Forte quoque primi *Athenienſes* qui cum *Judæis* verſati ſunt exinde

ἐδό-

ſemper pueritia, adoleſcentia, matura ætate probatus eſt, & incorruptus exiſtit, cuſtos & princeps eſt civitatis conſtituendus. Honores huic tribuendi & viventi & mortuo ſepulchrorum & aliorum monimentorum maxima munera ſortienti. Qui vero talis non ſit, abjiciendus eſt. Hujuſmodi igitur, o Glauco, delectus & inſtitutio principum & cuſtodum eſſe debere mihi videtur, ut ſummatim potius quam accurate ſit dictum. Idem & mihi videtur. Igitur veriſſime vocabuntur hi quidem cuſtodes omni ex parte, tam externorum hoſtium, qnam internorum amicorum, ut iſti nolint, illi nequeant malum aliquid machinari. Juvenes autem quos paulo ante cuſtodes nominabamus, recte auxiliarii defenſoreſque inſtitutionum ipſorum principum appellabuntur. Sic & ipſe ſentio. Quis itaque modus erit quo ex his mendaciis quæ aliquando decent, quemadmodum & nos antea dicebamus generoſum quiddam eſſe mentiendo perſuadeamus, prius quidem principibus? ſin minus, ſaltem reliquis civibus? Quale iſthuc ais? Nihil boni equidem, ſed Phœnicium quiddam: quod ante quidem apud multos factum eſt, ut poetæ dixerunt, & perſuaſerunt, noſtris vero temporibus minime: nec ſcio ſi futurum unquam perſuadere certe eſt arduum. Quam pigre inquit, ad dicendum videris accedere. Videbor equidem: tibi poſtquam dixero, haud ab re piger. Dic age, nec timeas. Ecce jam dico, quanquam neſcio qua audacia quibuſque verbis fretus dicam: atque aggrediar primum ipſis principibus & militibus ſuadere, deinceps autem & reliquis civibus,

ſeipſos appellabant Αὐτόχθονας, *e terra ortos*, quia exiſtimabant *Athenienſes* ſe fuiſſe virorum primos. Sed hæc obiter. Fabula autem hoc vult, omnes cives eſſe Ὁμογενεῖς, ac proinde in Reip. Salutem veluti communis Matris incumbere debere.

quod

ἐδόκουν ταῦτα πάντα πάσχειν τε καὶ γίγνεσθαι περὶ αὐτούς· ἦσαν δὲ τότε τῇ ἀληθείᾳ ὑπὸ γῆς ἐντὸς πλαττόμενοι καὶ τρεφόμενοι, καὶ αὐτοὶ, καὶ τὰ ὅπλα αὐτῶν, καὶ ἡ ἄλλη σκευὴ, δημιουργούμενα· ἐπειδὴ δὲ παντελῶς ἐξειργασμένοι ἦσαν, καὶ ἡ γῆ αὐτοὺς μήτηρ οὖσα ἀνῆκε, καὶ νῦν δεῖ ὡς περὶ μητρὸς καὶ τροφοῦ τῆς χώρας ἐν ᾗ εἰσὶ βουλεύεσθαί τε καὶ ἀμύνειν αὐτοὺς, ἐάν τις ἐπ' αὐτὴν ἴῃ, καὶ ὑπὲρ τῶν ἄλλων πολιτῶν, ὡς ἀδελφῶν ὄντων καὶ γηγενῶν διανοεῖσθαι. Οὐκ ἐκτὸς (ἔφη) πάλαι ἠσχύνου τὸ ψεῦδος λέγειν. Πάνυ (ἦν δ' ἐγὼ) εἰκότως· ἀλλ' ὅμως ἄκουε καὶ τὸ λοιπὸν τοῦ μύθου· ἐστὲ μὲν γὰρ δὴ πάντες οἱ ἐν τῇ πόλει, ἀδελφοὶ (ὡς φήσομεν πρὸς αὐτοὺς μυθολογοῦντες) ἀλλ' ὁ θεὸς πλάττων, ὅσοι μὲν ὑμῶν ἱκανοὶ ἄρχειν, χρυσὸν ἐν τῇ γενέσει συνέμιξεν αὐτοῖς, διὸ τιμιώτατοι εἰσίν· ὅσοι δ' ἐπίκουροι, ἄργυρον· σίδηρον δὲ καὶ χαλκὸν τοῖς τε γεωργοῖς, καὶ τοῖς ἄλλοις δημιουργοῖς· ἅτε οὖν ξυγγενεῖς ὄντες πάντες, τὸ μὲν πολὺ, ὁμοίους ἂν ὑμῖν αὐτοῖς γεννῷτε· ἔστι δ' ὅτε ἐκ χρυσοῦ γεννηθείη ἂν ἀργυροῦν, καὶ ἐξ ἀργύρου χρυσοῦν ἔκγονον· καὶ τἄλλα πάντα οὕτως ἐξ ἀλλήλων· τοῖς οὖν ἄρχουσι καὶ πρῶτον καὶ μάλιστα παραγγέλλει ὁ θεὸς, ὅπως μηδενὸς οὕτω φύλακες ἀγαθοὶ ἔσονται, μηδ' οὕτω σφόδρα φυλάξουσι μηδὲν ὡς τοὺς ἐκγόνους, ὅ, τι αὐτοῖς τούτων ἐν ταῖς ψυχαῖς παραμέμικται· καὶ ἐάν τε σφέτερος ἔκγονος ὑπόχαλκος ἢ ὑποσίδηρος γένηται, μηδενὶ τρόπῳ κατελεήσουσιν, ἀλλὰ τὴν τῇ φύσει προσήκουσαν [1] τιμὴν ἀποδόντες, ὤσουσιν εἰς

1 Τιμὴν ἀποδόντες] In sua Republica velit *Plato* ut sola *Virtus* sit Unica & vera *Nobilitas*, nullo respectu habito ad genus.

—*Venale pecus* Corithæ *posteritas &*
Hirpini, *si rara jugo victoria sedit.*
Nil ibi Majorum *respectus, gratia nulla*
Umbrarum, Dominos pretiis mutare jubentur

δημι-

quod ea quibus nos ipſos enutruimus erudivimuſque tanquam ſomnia viſi ſunt circa ſeipſos omnia habere. Erant autem tunc revera ſub terra, intus formati & enutriti ipſi & arma eorum & ſupellex omnis. Poſtquam vero omnino perfecti fuerunt, terra ipſas ut mater eduxit. Et nunc quidem tanquam matri ac nutrici, regioni huic in qua ſunt, conſulere debent, atque ſuccurrere, ſi quis eam invaſerit, deque cæteris civibus, tanquam de fratribus terra genitis, cogitare. Non ab re inquit, jam ante pudebat hoc mendacium dicere. Recte admodum inquam, ſed audi jam reliquum fabulæ. Eſtis utique omnes in civitate tanquam fratres, (ſic enim dicemus apud eos fabulantes) ſed cum deus formaret, quicunque veſtrum ad imperandum idonei nati ſunt, aurum in eorum generatione ipſis admiſcuit, propter quod honoratiſſimi ſunt. Illis autem qui ad auxiliandum, argentum. Ferrum denique atque æs agricolis & aliis opificibus. Tanquam igitur ejuſdem generis omnes, ſimiles vobis plurimum generatis. Evenit autem quandoque, ut ex aureo naſcatur argenteus, & ex argenteo ſimiliter, aureus cæteraque ita viciſſim. Quapropter ipſis principibus & primo & maxime deus præcipit, ut nullius rei majorem curam cuſtodiamque ſuſcipiant quam natorum, ut dignoſcant quid ex quatuor his, illorum animis ſit immixtum: & ſiquis ex ipſis naſcatur ſubæreus aut ſubferragineus, nullo pacto miſereantur, ſed honorem illi naturæ convenientem tribuentes, illum ad

Exiguis, tritoque trahunt Epirhedia collo
Segnipedes, dignique molam verſare Nepotis. *Juv. Sat.* 8. hunc locum vehementer impugnat *Ariſtoteles* in ſua πολιτικῇ, dicitque inter alia, lubricam eſſe *Socratis* rationem in creandis Magiſtratibus, cauſa enim ſeditionis oriretur ſi optimi ſemper adminiſtrent Rempublicam. lib. 2. cap. 5.

ipo-

δημιουργὸς, ἢ εἰς γεωργὸς, ἢ ἂν αὖ ἐκ τούτων τὶς [1] ὑπόχρυσος ἢ ὑπάργυρος φυῇ, τιμήσαντες ἀνάξουσι, τοὺς μὲν, εἰς Φυλακὴν, τοὺς δὲ, εἰς ὑπηρεσίαν· ὡς ἀληθῶς ὄντος τότε τοῦ πόλιν διαφθαρῆναι ὅταν αὐτὴν ὁ [2] σίδηρος ἢ ὁ χαλκὸς φυλάξῃ· τοῦτον οὖν τὸν μῦθον ὅπως ἂν πεισθεῖεν, ἔχεις τινὰ μηχανήν; Οὐδαμῶς, ἔφη, ὅπως γ' ἂν αὐτοὶ οὗτοι· ὅπως μέντ' ἂν οἱ τούτων υἱεῖς καὶ οἱ ἔπειτα οἱ τ' ἄλλοι ἄνθρωποι οἱ ὕστερον. Ἀλλὰ καὶ τοῦτο (ἐγὼ δ' ἐγὼ) οὐκ ἂν ἔχοι πρὸς τὸ μᾶλλον αὐτοὺς τῆς πόλεώς τε καὶ ἀλλήλων κήδεσθαι. κομιδῇ γάρ τι μανθάνω ὃ λέγεις· καὶ τοῦτο μὲν δὴ ἐχέτω ὅπη ἂν αὐτὸ ἡ φήμη ἀγάγῃ· ἡμεῖς δὲ τοὺς γηγενεῖς ὁπλίσαντες, προάγωμεν ἡγεμόνας τῶν ἀρχόντων· ἐλθόντες δὲ θεασάσθων τῆς πόλεως ὅπου κάλλιστον στρατοπεδεύσασθαι, ὅθεν τοὺς τε ἔνδον μάλιστ' ἂν κατέχοιεν, εἴ τις μὴ ἐθέλοι τοῖς νόμοις πείθεσθαι, τούς τε ἔξωθεν ἀπαμύνοιεν, εἰ πολέμιος, ὥσπερ λύκος, ἐπὶ ποίμνιον τις ἴοι· στρατοπεδευσάμενοι δὲ, θύσαντες οἷς χρὴ, θυλὰς ποιησάσθων· ἢ πῶς; Οὕτως, ἔφη. Οὐκοῦν τοιαύτας οἵας χειμῶνός τε φέρειν καὶ θέρους ἱκανὰς εἶναι; Πῶς γὰρ οὔχί; οἰκήσεις γὰρ (ἔφη) δοκεῖς μοι λέγειν. Ναὶ (ἐγὼ δ' ἐγὼ) σωματικάς γε, ἀλλ' ὑ χρηματιστικάς. Πῶς (ἔφη) αὖ τοῦτο λέγεις διαφέρειν ἐκείνου; Ἐγώ σοι (ἐγὼ δ' ἐγὼ) πειράσομαι εἰπεῖν· δεινότατον γάρ που πάντων καὶ αἴσχιστον ποιμέσι, τοιούτους γε καὶ οὕτω τρέφειν κυνὰς ὑπηρέτας ποιμνίων, ὥστε ὑπὸ ἀκολασίᾳ ἢ λιμῷ, ἢ τινος ἄλλου κακοῦ ἔθους, αὐτοὺς τοὺς κυνὰς

1 Τὶς ὑπόχρυσος] Quod ſiquis in ima plebe virtute præditus ſit, ad ſtationem meritis dignam exaltetur. Unde idem poeta. Sat. 8.

Nobilis hic quocunque venit de gramine, cujus
Clara fuga ante alios & primus in æquore pulvis.
—Referre negas quali ſit quiſque parente

ὑπη-

opifices vel agricolas transferant. Rurſuſque ſi ex illis naſcatur aliquis aureus vel argenteus, honorantes extollant, illum quidem ad cuſtodes, hunc ad auxiliarios: quaſi oraculum ſit, tum rempublicam perituram, cum ipſam vel æneus cuſtos vel ferreus gubernabit. Habeſne quomodo huic fabulæ fidem adhibeant? Nullo modo, inquit, quo pacto iſti: quo autem modo iſtorum filii ac reliqui poſteri, habeo. At hoc bene ſe haberet ad majorem curam ſui & civitatis habendam. Ferme quod dicis intelligo. Et hoc quidem illuc tendet, quo oraculum perducet. Nos autem hos terra genitos armantes ducentibus principibus producamus. Profecti autem explorent, ubinam in civitate ſit optimum caſtra ponere, unde, & eos qui intus ſunt maxime cohibeant, ſi quis nolit legibus obtemperare: & eos qui extra repellant, ſi hoſtis tanquam lupus ovile invadat. Cum vero caſtra poſuerint & quibus oportet ſacrificaverint, tabernacula ſtruant. Siccine? an aliter? Sic certe. Num hujuſmodi qualia contra hyemes & calores ſufficiant? Quidni? habitationes enim dicere mihi videris. Sic aio, ſed militares, non opulentas. Quo differre aſſeris hoc ab illo. Conabor equidem declarare. Graviſſimum quippe omnium, & turpiſſimum paſtoribus eſſet ſi ita canes gregis cuſtodes futuros nutrirent, ut ex intemperantia, aut ex fame, aut ex aliqua alia mala conſuetudine, canes ipſi aggrediantur pecuaria lædere, & pro canibus ſimiles lupis effician-

Natus dum ingenuus. Hor. Lib. 1. Sat. 6.

——*lectos ex omnibus oris*
Evehis, & meritum *nunquam*
cunabula *quæris*

Et quales *non* unde *ſati.* Claud. de laud. Stil. l. 2.

2. Σίδηρος ἢ ὁ χάλκος] Ferrum & Æs, id eſt imperiti & inepti homines.

ὑπχειρῆσαι τοῖς πολεμίοις κακουργεῖν, καὶ ἀντὶ κυνῶν, λύκοις ὁμοιωθῆναι. Δεινὸν, ἦ δ' ὅς· πῶς δ' οὔ; Οὐκοῦν φυλακτέον παντὶ τρόπῳ, μή τοιοῦτον ἡμῖν οἱ ὑπέκυροι ποιήσωσι πρὸς τοὺς πολίτας, ἐπειδὰν αὐτῶν κρείττους εἰσὶ, καὶ ἀντὶ ξυμμάχων ὦμεν, δεσπόταις ἀγρίοις ἀφομοιωθῶσι. Φυλακτέον, ἔφη. Οὐκοῦν τῷ μεγίστῳ τῆς ὑλακείας παρεσκευασμένοι ἂν εἶεν, εἰ τῷ ὄντι καλῶς πεπαιδευμένοι εἰσίν; Ἀλλὰ μὴν εἰσί γ', ἔφη. Καὶ ἔγωγ' εἶπον, τοῦτο μὲν οὐκ ἄξιον διϊσχυρίζεσθαι, ὦ φίλε Γλαύκων· ὃ μέντοι ἄρτι ἐλέγομεν, ἄξιον, ὅτι δεῖ αὐτοὺς τῆς ὀρθῆς τυχεῖν παιδείας, ἥτις ποτ' ἔστιν, εἰ μέλλουσι τὸ μέγιστον ἕξειν, πρὸς [1] τῷ ἥμεροι εἶναι αὐτοῖς τε καὶ τοῖς φυλαττομένοις ὑπ' αὐτῶν. Καὶ ὀρθῶς γε, ἦ δ' ὅς. Πρὸς τοίνυν τῇ παιδείᾳ ταύτῃ, φαίη ἄν τις νοῦν ἔχων δεῖν καὶ τὰς οἰκήσεις καὶ τὴν ἄλλην οὐσίαν τοιαύτην αὐτοῖς παρεσκευάσθαι, ἥτις μήτε τοὺς φύλακας ὡς βελτίστους εἶναι παύσῃ αὐτοὺς, κακουργεῖν τε μὴ ἐπάρῃ πρὸς τοὺς ἄλλους πολίτας. Καὶ ἀληθῶς γε φήσει. Ὅρα δὴ (εἶπον ἐγὼ) εἰ τοιόνδε τινὰ τρόπον δεῖ αὐτοὺς ζῆν τε καὶ οἰκεῖν, εἰ μέλλουσι τοιοῦτοι ἔσεσθαι· πρῶτον μὲν, οὐσίαν κεκτημένον μηδεμίαν μηδένα ἰδίαν, ἂν μὴ πᾶσα ἀνάγκη. ἔπειτα οἴκησιν καὶ ταμιεῖον μηδενὶ εἶναι μηδὲν τοιοῦτον, εἰς ὃ οὐ πᾶς ὁ βουλόμενος εἴσεισι· τὰ δ' ὑπηρέτια, ὅσων δέονται ἄνδρες ἀθληταὶ πολέμου σώφρονές τε καὶ ἀνδρεῖοι, ταξαμένους παρὰ τῶν ἄλλων πολιτῶν, δέχεσθαι μισθὸν τῆς φυλακῆς τοσοῦτον, ὅσον μήτε περιεῖναι αὐτοῖς εἰς τὸν ἐνιαυτὸν, μήτε ἐνδεῖν· φοιτῶντας δὲ εἰς [2] ξυσσίτια, ὥσπερ ἐστρατο-

1 Πρὸς τῷ ἥμεροι] Lege πρὸς τὸ ἥμεροι.

2 Εἰς ξυσσίτια] Ξυσσίτια, fuere Festa publica, ad quæ Om-

πεδευ-

tur. Grave, inquit. Omnino itaque nobis cavendum, nequid tale adverſus cives, efficiant, qui defenſores adhibentur, cum ipſis valentiores ſint, neque benevolorum loco ſociorum, agreſtibus dominis ſe ſimiles præbeant. Cavendum ſane. Nonne maxima eſſet adhibita cautio, ſi revera præclare educati ſint? Atqui ſunt quidem jam antea, inquit. Hoc quidem ô amice Glauco, aſſeverare non decet: quod autem nuper dicebamus, nimirum decet, quod oportet ipſos rectam, ſi qua eſt, conſequi diſciplinam, ſi modo quod maximum eſt ad manſuetudinem in ſeipſos tum in eos quos cuſtodiunt exercendam conſecuturi ſunt. Et recte quidem. Ad hanc igitur diſciplinam quiſque ſanæ mentis diceret habitationem & reliquam ſupellectilem ita adhibendam, ne ipſos quo minus optimi viri eſſent prohiberet, neque eos ad cæteros cives lædendos impelleret. Et vere quidem. Inſpice igitur an tali quadam ratione eos oporteat & vivere & habitare, ſi quidem futuri ſint tales. Primo quidem nemo proprium quicquam poſſideat, niſi quatenus ſumma cogat neceſſitas. Deinde neque domum neque penu habeant, quo non omnibus pateat aditus. Quæ vero ad victum pertinent, tanta ſint apud eos, quantis indigent militares athletæ temperantes ac fortes: accipiantque ex inſtituto ab aliis civibus mercedem tantum cuſtodiæ gratia, ut ex annuis ſumptibus neque deſit quicquam, neque ſuperſit. Conferentes autem ſe ad comeſſationes publicas, perinde atque in caſtris, communi veſcantur convivio. Dicendumque eſt illis,

nes præcipue vero juniores accedere ſunt ſoliti, quaſi ad δι- | δικαιοσύνης, ut ab exemplis ſeniorum laudabilem

πεδευμένους, κοινῇ ζῆν· [1] χρυσίον δὲ καὶ ἀργύριον εἰπεῖν αὐτοῖς ὅτι θεῖον παρὰ θεῶν αἰεὶ ἐν τῇ ψυχῇ ἔχουσι, καὶ οὐδὲν προσδέονται τοῦ ἀνθρωπείου· οὐδὲ ὅσια τὴν ἐκείνου κτῆσιν τῇ τοῦ θνητοῦ χρυσοῦ κτήσει ξυμμιγνύντας μιαίνειν· διότι πολλὰ καὶ ἀνόσια [2] παρὰ τῶν πολλῶν νόμισμα γέγονε, τὸ παρ' ἐκείνοις δὲ ἀκήρατον· ἀλλὰ μόνοις αὐτοῖς τῶν ἐν τῇ πόλει μεταχειρίζεσθαι, καὶ ἅπτεσθαι χρυσοῦ καὶ ἀργύρου, οὐ θέμις· οὐ δ' ὑπὸ τὸν αὐτὸν ὄροφον ἰέναι, οὐδὲ περιάψασθαι, οὐδὲ πίνειν ἐξ ἀργύρου ἢ χρυσοῦ, καὶ οὕτω μὲν σώζοιντ' ἂν καὶ σώζοιεν τὴν πόλιν· ὁπότε δ' αὐτοὶ γῆν τε ἰδίαν καὶ οἰκίας καὶ νομίσματα κτήσονται, οἰκονόμοι μὲν καὶ γεωργοὶ ἀντὶ φυλάκων ἔσονται, δεσπόται δ' ἐχθροὶ, ἀντὶ συμμάχων, τῶν ἄλλων πολιτῶν γενήσονται· μισοῦντες δὲ δὴ καὶ μισούμενοι, καὶ ἐπιβουλεύοντες καὶ ἐπιβουλευόμενοι, διάξουσι πάντα τὸν βίον, πολὺ πλείω καὶ μᾶλλον δεδιότες τοὺς ἔνδον ἢ τοὺς ἔξωθεν πολεμίους, θέοντες ἤδη τότε ἐγγύτατα ὀλέθρου, αὐτοί τε καὶ ἡ ἄλλη πόλις. Τούτων οὖν πάντων ἕνεκα (ἦν δ' ἐγὼ) φῶμεν οὕτω δεῖν κατεσκευάσθαι τούς τε φύλακας, οἰκήσεώς τε πέρι καὶ τῶν ἄλλων· καὶ ταῦτα νομοθετήσομεν, ἢ μή; Πάνυ, γε ἦ δ' ὃς ὁ Γλαύκων.

discerent parsimoniam, & honestæ frugalitatis artes horum Festorum meminit *Aristot.* 7. *Pol. Xenoph.* in *Rep. Spar.* & *Plutarchus* in vita *Lycurgi*. Non tantum ab omnibus dapibus in his festis abbstinuerunt, verum etiam a farina & σιτοῦνται ἄλφιτα *hordeo vescuntur* ait *Heraclides* de *Politiis*. De bonorum communitate aget in quinto.

1 Χρύσιον δὲ καὶ ἀργύριον] Conclusio hujusce libri cum optima ad principem exhortatione. Nempe cum sit ex illis,

— *Queis meliore luto finxit præ-*

habere, neque humano auro indigere, neque ſanctum eſſe illius poſſeſſionem admixtione mortalis auri inquinare. Nempe ex vulgi pecuniis multa impia provenerunt: quod vero ineſt illis aurum, prorſus incorruptum. Profecto ſolis ipſis ex omnibus qui ſunt in civitate, tangere aurum aut argentum, aut circunferre, vel ex ea materia bibere, nefas. Hoc ergo pacto & ſibi & civitati ſalutem parerent. Siquando vero domum ſibi aut agrum aut pecuniam privatim poſſederint, adminiſtratores familiæ & agricolæ pro cuſtodibus erunt, & vice eorum qui civibus auxilio ſint, domini eorum infenſi efficientur: & ipſi odio habiti, odioque alios habentes, & inſidias parantes viciſſimque patientes, vitam univerſam degent. Ubi multo magas civis qtam externos hoſtes timebunt. accedentque jam tunc proxime ad perniciem tam ipſi quam reliqua civitas. Horum igitur inquam omnium cauſa, dicamus cuſtodes ipſos circa domum & reliqua omnia ita inſtructos eſſe debere. Hæcque lata ſit lex: nonne? Sic eſto, inquit Glauco.

cordia Titan, ut dignum ſe gerat imperio, Temperantia & ſobrietate bellicis virtutibus adjectis. Audi jam divina Satyriſtæ verba Principem vel Magiſtratum hortantia.

Expectata diu tandem Provincia cum Te
Rectorem *accipiet*, *pone* iræ
frena Modumque,
Pone & Avaritiæ, *miſerere inopum ſociorum.*

Juven. Sat. 8.

2 Παρὰ τῶν πολλῶν] Inſere τὸν inter παρὰ & τῶν.

ΠΛΑΤΩΝΟΣ

ΠΟΛΙΤΕΙΩΝ,

Η, ΠΕΡΙ ΔΙΚΑΙΟΥ.

ΔΙΑΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

[1] ΚΑΙ ὁ Ἀδείμαντος ὑπολαβών, Τί οὖν (ἔφη) ὦ Σώκρατες ἀπολογήσῃ, ἐάν τις σὲ φῇ μὴ πάνυ τι βελτίμονας ποιεῖν τούτους τοὺς ἄνδρας, καὶ ταῦτα δι' ἑαυτούς, ὧν ἕνεκα μὲν ἡ πόλις τῇ ἀληθείᾳ, οἱ ἄν, μηδὲν ἀπολαύοιεν ἀγαθὸν ἐκ πόλεως; οἷον οἱ ἄλλοι, ἀγροὺς τε κεκτημένοι, καὶ οἰκίας οἰκοδομούμενοι καλὰς καὶ μεγάλας, καὶ ταύταις πρέπουσαν κατασκευὴν κτώμενοι· καὶ θυσίας θεοῖς ἰδίας θύοντες, καὶ [2] ξενοδοκοῦντες, καὶ δὴ καὶ,

Post accuratam disputationem de Custodis institutione, ad finem tertii incepit agere de Universæ Civitatis institutione, quam hoc libro diligenter pergit explicare. Quarti igitur hujusce libri Thesis est de *Universæ Civitatis institutione:* quam componit ex *Sapientia, Temperantia, Fortitudine,* & *Justitia:* ut earum vi & efficacia, Respublica sit *Sapiens, Temperans, Fortis* & *justa.* Illarum Virtutum conjunctionē, ex variis animi facultatibus accuratissime tractat, ut ex his πολιτίας varii modi componantur, & quidem ita ut in unam harmoniam congruenter coalescant. Justitiæ nomen hic varie sumitur, modo pro genere ipso, modo pro specie quadam in illa generis communitate. Sic Aristoteles in Politicis, πολιτίας nomen, quod generatim dicitur de omni civili administratione, facit nomen speciei, ejus videlicet formæ, quum penes populum est summa Authoritas.

1 Καὶ ὁ Ἀδείμαντος] Objectio ad superioris libri conclusionem, viz. *Custodem opibus abundare minime debere, neque quicquam privatim possidere,* in-

PLATONIS

DE

REPUBLICA,

SIVE DE

JUSTO,

DIALOGUS QUARTUS.

HIC Adimantus reſpondens, Quid, ô Socrates, afferes, inquit, ſiquis te dicat non multum hos viros beatos efficere, cum tamen ipſi ſint quorum revera eſt civitas, nihil autem ex bonis civitatis accipiant, quemadmodum alii, qui & agros & magnificas domos ſuppellectilemque hujuſmodi domibus convenientem poſſident, ſacraque diis privata faciunt, hoſpites excipiunt, quæ tu nunc dicebas aurum & argentum adepti, & quæcunque ad felicitatem conferre putantur: iſti

quit *Adimantus*, id eſſe valde incommodum, & cauſas reddit, aitque deteriorem Cuſtodis futuram eſſe conditionem, quam alicujus privati hominis.

2 Ξενοδικεῖσι] Religio erat apud veteres, Hoſpites benigne excipere, quia exiſtimabant Deos nonnunquam ſub humana ſpecie luſtrare terras; (hoc autem refutat *Socrates* in ſecundo.) A Jove immiſſi credebantur Hoſpites, ideoque in magna habebantur veneratione. Ut in ſexto *Odyſſ.* videre eſt, ubi *Nauſicaa Ulyſſem* benigne excipit: & in libro 15 inquit *Menelaus* ad *Telemachum*

Χρὴ ξεῖνον παρέοντα φιλεῖν,

digna quoque notatu eſt Homeri imprecatio in *Theſtoridem*, qui illum Hoſpitio exceptum ſpoliaverat.

Φῶτα τὸ πισείμην ὃς ἐμὸν νόον ὑπερφπύσας
Ὠδύσατο Ζῆνα ξένιον ξενίην τε τραπέζην.

præcipimur apud *Hebræos*, ut non obliviſceremur hoſpites excipere. τ⁹ φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες ἀγγέλους *Heb.* c. 13. v. 2. vide quoque *Plat.* de *leg.* lib. 10.

vero

ἃ νῦν δὴ σὺ ἔλεγες, χρυσόν τε καὶ ἄργυρον κεκτημένοι, καὶ πάντα ὅσα νομίζεται τοῖς μέλλουσι μακαρίοις εἶναι· ἀλλ' ἀτεχνῶς, φαῦλη ἂν, ὥσπερ ἐπίκουροι μισθωτοὶ ἐν τῇ πόλει φαίνοιντο κεκτημένοι οὐδὲν ἄλλο ἢ φρουρεῖν. Ναί (ἦν δ' ἐγώ) καὶ ταύτας ὀψίσιτοι, καὶ οὐδὲ μισθὸν ὥσπερ τοῖς σιτίοις λαμβάνοντες, ὥσπερ οἱ ἄλλοι· ὥστε οὐδ' ἂν ἀποδημῆσαι βούλοιντο ἰδίᾳ, ἐξέσται αὐτοῖς· οὐδὲ ἄλλοις διδόναι, οὐδ' ἀναλίσκειν ἂν τι βούλοιντο, ἄλλοσε, οἷα δὴ οἱ εὐδαίμονες δοκοῦντες εἶναι ἀναλίσκουσι· ταῦτα καὶ ἄλλα τοιαῦτα συχνὰ τῆς κατηγορίας ἀπολείπεις. Ἀλλ', ἦ δ' ὅς, ἔγωγε καὶ ταῦτα κατηγορημένα. Τί οὖν δὴ ἀπολογησόμεθα, φήσ; Ναί. Τὸν αὐτὸν οἶμον (ἦν δ' ἐγώ) πορευόμενοι, εὑρήσομεν, ὡς ἐγῷμαι, ἃ λεκτέα· ἐροῦμεν γὰρ ὅτι θαυμαστὸν μὲν οὐδὲν ἂν εἴη, εἰ καὶ οὗτοι οὕτως εὐδαιμονέστατοι εἰσίν· ἡμεῖς μέντοι τοῦτο βλέποντες τὴν πόλιν οἰκίζομεν, ὅπως ἔν τι ἡμῖν ἔθνος ἔσται διαφερόντως εὐδαίμον, ἀλλ' ὅπως ὅτι μάλιστα ὅλη ἡ πόλις· ὡήθημεν γὰρ ἐν τῇ τοιαύτῃ μάλιστα ἂν εὑρεῖν δικαιοσύνην, καὶ αὖ ἐν τῇ κάκιστα οἰκουμένῃ ἀδικίαν· καὶ διδόντες ἦ, κεῖναι ἂν ἡ πάλαι ζητοῦμεν· νῦν μὲν οὖν, ὡς οἰόμεθα, τὴν εὐδαίμονα πλάττομεν, οὐκ ἀπολαβόντες ὀλίγους ἐν αὐτῇ τοιούτους πινὰς θέντες, ἀλλ' ὅλην, αὐτίκα ἢ τὴν ἐναντίαν σκεψόμεθα· ὥσπερ οὖν ἂν εἰ ἡμᾶς ἀνδριάντας γράφοντας προσελθὼν ἄν τις ἔψεγε, λέγων ὅτι οὐ τοῖς καλλίστοις οὐ ζῴοις τὰ κάλλιστα φάρμακα προστίθεμεν· οἱ γὰρ ὀφθαλμοί, κάλλιστον ὄν, οὐκ ὀστρείῳ ἀλλ' ἀλλοτρίῳ ἐμέλανι· μετρίως ἂν ἐδοκοῦμεν πρὸς αὐτὸν ἀπολο-

1 Τὸν αὐτὸν οἶμον] Responsio ad superiorem objectionem.

2 Ἀλλ' ὅλην] *Omnino qui* Reipublicæ *præfuturi sunt duo* Platonis *præcepta teneant; unum, ut utilitatem, Civium sic tueantur,*

γεῖσθαι,

vero tanquam auxiliarii quidam mercede conducti in urbe ſedent, nihil agentes aliud quam cuſtodiam? Certe, inquam ego, ut qui victum præterea ſolum recipiant, neque mercedem ultra victum, ut alii. Quocirca neque ſi proficiſci privatim alio velint, licebit ipſis, neque quicquam aliis largiri, aut ad quævis alia pecunias erogare, eorum more qui beati putantur. Quæ tu & alia multa hujuſmodi reprehenſione digna prætermittis. Atqui, inquit Adimantus ſint & iſta in accuſatione comprehenſa. Quid igitur? reſpondendum eſſe ais? Sane. Eandem, inquam, viam illam ingredientes, inveniemus, ut arbitror, quæ ſint dicenda. Dicimus porro nihil mirum fore, ſi ita iſti feliciſſimi ſint. Non tamen ad hoc reſpicientes conſtituimus civitatem, ut una aliqua nobis gens ſit majorem in modum felix, ſed ut quam maxime civitas univerſa. Speramus enim in hujuſmodi civitate juſtitiam maxime invenire, contra vero in ea quæ peſſime inſtituta eſſet, injuſtitiam. Quibus inſpectis, facile nos quod jamdiu quærimus, judicaturos exiſtimavimus. Nunc ſane, ut opinamur, beatam fingimus, non ut pauci quidem in ea beati ſint, ſed ut civitas tota. Deinceps autem contrariam contemplabimur: quemadmodum enim ſiquis nos figuram homines depingentes vituperet, quod pulcherrimis animalis partibus non pulcherrimos etiam colores apponamus, oculi enim pulcherrimum membrum non purpura, ſed nigro colore eſſent depicti: decenter utique reſpondere videamur, dicentes ô

tur, ut quicquid agant ad eam referant, obliti commodorum ſuorum: alterum, ut totum corpus | Reipublicæ *curent, ne dum partem aliquem tuentur, reliquas deſerant.* Cic. de off. lib. 1.

miri-

γεῖαθ, λέγοντες, Ὦ θαυμάσιε, μὴ οἴου δεῖν ἡμᾶς οὕτω καλοὺς ὀφθαλμοὺς γράφειν, ὥς τε μηδὲ ὀφθαλμοὺς φαίνεσθαι, μηδ' αὖ τἆλλα μέρη· ἀλλ' ἄθρει εἰ τὰ προσήκοντα ἑκάστοις ἀποδιδόντες, τὸ ὅλον καλὸν ποιοῦμεν· καὶ δὴ καὶ νῦν μὴ ἀνάγκαζε ἡμᾶς τοιαύτην εὐδαιμονίαν τοῖς φύλαξι προσάπτειν, ἣ ἐκείνους πᾶν μᾶλλον ἀπεργάσεται ἢ φύλακας· ἐπιτάττομεν γὰρ καὶ τοὺς γεωργοὺς ξυσσίτους ἀμφιέσαντες, καὶ χρυσὸν προσθέντες, πρὸς ἡδονὴν ἐργάζεσθαι κελεύειν τὴν γῆν· καὶ τοὺς κεραμέας κατακλίναντες ἐπὶ δεξιὰ πρὸς τὸ πῦρ, δαπίνοντάς τε καὶ εὐωχουμένους, τὸ παρὸν παραθεμένους, ὅσον ἂν ἐπιθυμήσωσι κεραμεύειν· καὶ τοὺς ἄλλους πάντας τοιούτῳ τρόπῳ μακαρίους ποιεῖν, ἵνα δὴ ὅλη ἡ πόλις εὐδαιμονῇ· ἀλλ' ἡμᾶς μὴ οὕτω νουθέτει· ὡς, ἂν σοὶ πειθώμεθα, οὔτε ὁ γεωργὸς, γεωργὸς ἔσται· οὔτε ὁ κεραμεὺς, κεραμεύς· οὔτε ἄλλος οὐδεὶς οὐδὲν ἔχων σχῆμα, ἐξ ὧν πόλις γίγνεται· ἀλλὰ τῶν μὲν ἄλλων ἐλάττων λόγος· νευροῤῥάφοι γὰρ φαῦλοι γενόμενοι, καὶ διαφθαρέντες, καὶ πεισποιησάμενοι εἶναι, μὴ ὄντες, πόλει οὐδὲν δεινόν· φύλακες δὲ νόμων τε καὶ πόλεως, μὴ ὄντες, ἀλλὰ δοκοῦντες, ὁρᾷς δὴ ὅτι πᾶσαν ἄρδην πόλιν ἀπολλύουσιν, ἂν δὴ οἰκεῖν καὶ εὐδαιμονεῖν μόνοι τὸ προσῆκον ἔχουσιν· εἰ μὲν οὖν ἡμεῖς μὲν φύλακας ὡς ἀληθῶς ποιοῦμεν ἥκιστα κακοῦργος ἡ πόλεως· ὁ δ' ἐκεῖνο λέγων, γεωργοὺς τινας, καὶ ὥσπερ ἐν πανηγύρει ἀλλ' οὐκ ἐν πόλει ἑστιάτορας καὶ εὐδαίμονας, ἄλλο ἄν τι ἢ πόλιν λέγοι; σκεπτέον οὖν πότερον πρὸς τοῦτο βλέποντες τοὺς φύλακας καθιστῶμεν, ὅπως ὅτι πλείστη αὐτοῖς εὐδαιμονία ἐγγενήσεται ἢ τοῦτο μὲ εἰς τὴν πόλιν ὅλην βλέποντας θεατέον εἰ ἐκείνη ἐγγίγνεται· τοὺς δ' ἐπικούρους τούτους καὶ τοὺς φύλακας ἐκεῖνο ἀναγκαστέον ποιεῖν, καὶ πρακτέον ὅπως

ὅτι

mirifice, non oportet adeo nos pulchros oculos pingere, ut ne oculi quidem esse videantur, ac neque cætera membra: sed considera, si singulis decorem suum attribuentes, totum pulchrum reddamus. Sic neque nunc nos cogas, ea custodes felicitate afficere, quæ illos quidvis potius quam custodes efficiat. Possemus enim & agricolas hortari, ut pretiosissimo corporis cultu auroque ornati, animi tantum gratia colerent terram: & figulos ut a dextra discumbentes, atque ad focum bibentes & convivium celebrantes, missa rota quantum animo lubeat, figulinam exercerent: & alios omnes hoc modo beatos efficere, quo universa civitas felix esset. Sed ne nos ita moneas. Porro si tibi parebimus, neque agricola, agricola erit, neque figulus, figulus, neque ullus alius formam habebit eorum ex quibus fit civitas. Sed aliorum quidem ratio levior. Sutores enim facti deteriores depravatique, & simulantes id esse quod non sunt, civitati nihil inferunt grave. Custodes autem legum & civitatis si non sint, sed appareant, videsne ut omnem civitatem simul perdant, quum eam bene constituendi, beatamque reddendi soli opportunitatem habeant. Quamobrem si veros civitatis custodes quærimus minime eos eligere debemus qui noceant civitati. Qui vero aliud dicit, & agricolas non tanquam in civitate, sed tanquam in festa quadam celibritate discumbentes felices facit, aliquid certe aliud quam civitatem dicit. Videndum igitur utrum ad hoc respicientes custodes constituamus, ut

quam

ὅτι ἄριστοι δημιουργοὶ τοῦ ἑαυτοῦ ἔργου ἔσονται, καὶ τοὺς ἄλλους ἅπαντας ὡσαύτως· καὶ οὕτω ξυμπάσης τῆς πόλεως αὐξανομένης καὶ καλῶς οἰκιζομένης, ἐατέον ὅπως ἑκάστοις τοῖς ἔθνεσιν ἡ φύσις ἀποδίδωσι τοῦ μεταλαμβάνειν εὐδαιμονίας. Ἀλλ', ἦ δ' ὅς, καλῶς μοὶ δοκεῖς λέγειν· Ἆρ' οὖν, ἦν δ' ἐγὼ, καὶ τὸ τούτου ἀδελφὸν δόξω σοι μετρίως λέγειν; Τί μάλιστα; Τοὺς ἄλλους αὖ δημιουργοὺς σκόπει εἰ τάδε διαφθείρει, ὥστε καὶ κακοὺς γίνεσθαι. Τὰ ποῖα δὴ ταῦτα; Πλοῦτος, ἦν δ' ἐγὼ, καὶ πενία. Πῶς δή; Ὧδε· πλουτήσας χυτρεὺς δοκεῖ σοι ἔτι θελήσειν ἐπιμελεῖσθαι τῆς τέχνης; Οὐδαμῶς, ἔφη. Ἀργὸς δὲ καὶ ἀμελὴς γενήσεται μᾶλλον αὐτὸς αὑτοῦ; Πολύ γε. Οὐκοῦν κακίων χυτρεὺς γίγνεται; Καὶ τοῦτο, ἔφη, πολύ. Καὶ μὴν καὶ ὄργανά γε μὴ ἔχων παρέχεσθαι ὑπὸ πενίας, ἤ τι ἄλλο τῶν εἰς τὴν τέχνην, τά τε ἔργα πονηρότερα ἐργάσεται, καὶ τοὺς υἱεῖς ἢ ἄλλους οὓς ἂν διδάξῃ, χείρους δημιουργοὺς διδάξεται. Πῶς δ' οὔ; Ὑπ' ἀμφοτέρων δὴ, πενίας τε καὶ πλούτου, χείρω μὲν τὰ τῶν τεχνῶν ἔργα, χείρους δὲ αὐτοί. Φαίνεται. Ἕτερα δὴ, ὡς ἔοικε, τοῖς φύλαξιν εὑρήκαμεν, ἃ παντὶ τρόπῳ φυλακτέον ὅπως μή ποτε αὐτοὺς λήσῃ εἰς τὴν πόλιν παραδύντα. Τὰ ποῖα ταῦτα; Πλοῦτός τε (ἦν δ' ἐγὼ) καὶ πενία· ὡς τοῦ μὲν, τρυφήν τε καὶ ἀργίαν καὶ νεωτερισμὸν ἐμποιοῦντος· τοῦ δὲ, ἀνελευθερίαν καὶ κακοεργίαν, πρὸς τῷ νεωτερισμῷ. Πάνυ μὲν οὖν, ἔφη. Τόδε μέντοι ὦ Σώκρατες σκόπει, [1] πῶς ἡμῖν ἡ πόλις οἵατ' ἔσται πολεμεῖν, ἐπειδὰν χρήματα μὴ κεκτημένη ᾖ· ἄλλως τε κἂν πρὸς μεγάλην τε καὶ πλουσίαν ἀναγκασθῇ πολεμεῖν. [2] Δῆλον, ἦν δ' ἐγὼ,

1 Πῶς ἡμῖν ἡ πόλις] Objectio altera.

2 Δηλὸν ἦν δ' ἐγὼ] Responsio, non opibus sed animis & ὅτι

quam maxime felicitate abundent: an potius totius civitatis rationem habeamus, ut tota ſit felix: auxiliarios autem iſtos atque cuſtodes cogere & perſuadere deceat illa facere, ex quibus optimus ſit ſui quiſque operis artifex, ceteroſque omnes ſimiliter. Atque ita univerſa aucta civitate, recteque inſtituta, ſinendum ut ſinguli quatenus cujuſque natura capax eſt, beatitudinis ſint participes. Probe, inquit ille, mihi loqui videris. An & quod huic eſt proximum, inquam ego, videbor tibi recte dicere? Quid maxime? Contemplare num iſta cæteros quoque artifices ita corrumpant, ut pravi ſint. Quænam iſta? Divitiæ videlicet & paupertas. Qua ratione? Ita figulus dives factus videturne tibi etiam tum curam ſuæ artis habere? Minime. Pigrior certe negligentiorque reddetur. Valde. Quare & deterior fit figulus. Et iſtud. Rurſus autem ſi propter inopiam inſtrumentis & reliquis quibus indiget ars, careat, & opera ipſa deteriora faciet, & filios ac cæteros quoſcunque docebit, deteriores artifices reddet. Quidni? Ex utriſque igitur tam opulentia quam paupertate, & deteriora artium opera, & deteriores artifices ipſi fiunt. Sic apparet. Alia ergo quædam invenimus noſtris cuſtodibus obſervanda, ne ipſis inſciis in civitatem irrepant. Quænam iſta? Opulentiam, inquam, & inopiam. Illa ſiquidem delicias, deſidiam, rerum novarum ſtudium parit. Hæc autem cum rerum innovatione illiberalitatem, & maleficia gignit. Sic eſt prorſus Veruntamen, ô Socrates, animadverte quæſo, quo pacto noſtra hæc civitas cum pecuniis careat, bellum gerere poterit, præſertim ſiquando adverſus amplam opulentiamque civitatem arma capere cogetur. Con-

peritia bellum geri, quod patet ab incrementis aliarum gentium; neque tantum periculi pauperibus, quantum divitibus Reſtat,

ὅτι πρὸς μὲν μίαν, χαλεπώτερον, πρὸς δὲ δύο τοιαύτας, ῥᾷον. Πῶς εἶπες; ἦ δ' ὅς. Πρῶτον μέν που (εἶπον) ἐὰν δέῃ μάχεσθαι, ἆρ' οὐ πλουσίοις ἀνδράσι μαχοῦνται αὐτοὶ ὄντες πολέμου ἀθληταί; Ναὶ τοῦτό γε, ἔφη. Τὶ οὖν (ἦν δ' ἐγὼ) ὦ Ἀδείμαντε; εἷς πύκτης, ὡς οἷόν τε κάλλιστα ἐπὶ τούτῳ παρεσκευασμένος, δυοῖν μὴ πύκταιν, πλουσίοιν δὲ καὶ πιόνοιν, οὐκ ἂν δοκῇ σοι ῥᾳδίως μάχεσθαι; Οὐκ ἂν ἴσως (ἔφη) ἅμα γε. Οὐδ' εἰ ἐξείη (ἦν δ' ἐγὼ) ὑποφεύγοντι, τὸν πρότερον αἰεὶ προσφερόμενον, ἀναστρέφοντα κρούειν, καὶ τοῦτο ποιοῖ πολλάκις ἐν ἡλίῳ τε καὶ πνίγει, ἆρά γε οὐ καὶ πλείους χειρώσαιτ' ἂν τοιούτους ὁ τοιοῦτος; Ἀμέλει (ἔφη) οὐδὲν ἂν γένοιτο θαυμαστόν. Ἀλλ' οὐκ οἴει πυκτικῆς πλέον μετέχειν τοὺς πλουσίους ἐπιστήμῃ τε καὶ ἐμπειρίᾳ, ἢ πολεμικῆς; Ἔγωγ', ἔφη. Ῥᾳδίως ἄρα ἡμῖν οἱ ἀθληταὶ, ἐκ τῶν εἰκότων, διπλασίοις τε καὶ τριπλασίοις αὐτῶν μαχοῦνται. Συγχωρήσομαί σοι, ἔφη· δοκεῖς γάρ μοι ὀρθῶς λέγειν. Τί δ' ἂν πρεσβείαν πέμψαντες εἰς τὴν ἑτέραν πόλιν, τἀληθῆ εἴπωσιν; ὅτι ἡμεῖς μὲν οὐδὲν χρυσίῳ οὐδ' ἀργυρίῳ χρώμεθα, οὐδ' ἡμῖν θέμις, ὑμῖν δέ· συμπολεμήσαντες οὖν μεθ' ἡμῶν, ἔχετε τὰ τῶν ἑτέρων· οἴει τινὰς ἀκούσαντας ταῦτα αἱρήσεσθαι κυσὶ πολεμεῖν στερεοῖς τε καὶ ἰσχνοῖς μᾶλλον, ἢ μετὰ κυνῶν προβάτοις πίοσί τε καὶ ἁπαλοῖς; Οὔ μοι δοκεῖ· ἀλλ' ἐὰν εἰς μίαν (ἔφη) πόλιν συναθροισθῇ τὰ τῶν ἄλλων χρήματα, ὅρα μὴ κίνδυνον φέρῃ τῇ μὴ πλουτούσῃ. Εὐδαίμων εἶ (ἦν δ' ἐγὼ) ὅτι οἴει ἄξιον εἶναι ἄλλην τινὰ προσειπεῖν πόλιν, ἢ τὴν τοιαύτην οἵαν ἡμεῖς κατεσκευάζομεν. Ἀλλὰ τί μήν;

buſpublicis impendere, quoniam paupertatem nemo optat, ſed divitias, quæ ſunt faces inflammandi belli. Neceſſe eſt

ἔφη.

ſtat, inquam, quod adverſus unam difficile, ſed adverſus duas tales, certe facilius. Quomodo iſtud ais? Principio ſi committenda pugna eſt, nonne hi bellicis rebus exercitati, adverſus divites pugnabunt? Fateor equidem iſtud. Quid vero Adimante? Unus pugil optime ad hoc inſtructus, nonne contra duos non pugiles, divites inſuper ac pingues videtur tibi facile pugnaturus? Haud fortaſſe ſimul. Annon forte neque etiam ſi licuerit ſubterfugiendo ejus qui primus invadit ictus evitare, deinde ſubita converſione eum cædere; Quin ſi ſæpius in ſole & æſtu id egerit, plures hujuſmodi homines vir talis ſubiget. Nempe nihil mirum. An non putas divites pugilum artis plus uſu & notitia conſequutos eſſe quam bellicæ? Equidem. Facile itaque athletæ noſtri ut conſentaneum eſt, cum duplis tripliſque ipſorum certabunt. Id quoque admittam. Nam probe loqui videris. Quid ſi miſſa in civitatem aliam legatione, vera dixerint? quod nos quidem auro & argento non utimur, neque nobis fas eſt itidem ut vobis; quare vos qui nobiſcum belli ſocietatem contraxiſtis, quæ alii poſſident, habetote: cenſes aliquos his auditis, contra canes duros & graciles pugnares malle potius, quam una cum canibus hujuſmodi contra pingues oves ac molles? Haudquaquam mihi videtur. Verum ſi in civitate una cæterorum pecuniæ cumulentur, cave ne minus pecunioſæ periculum inferat. Beatus es, quandoquidem putas decens eſſe aliam quandam appellare civitatem, quam talem, qualem ipſi conſti-

quoque ut pauper civitas bellicoſis abundet hominibus, quia illorum animi voluptatibus & diverſis negotiis non abſtrahuntur.

tuimus.

ἔφη. Μειζόνως (ἦν δ' ἐγὼ) χρὴ προσαγορεύειν τὰς ἄλλας· ἑκάστη γὰρ αὐτῶν, πόλεις εἰσὶ πάμπολλαι, ἀλλ' οὐ πόλις, τὸ τῶν παιζόντων· δύο μὲν γὰρ κἂν ὁπηοῦν εἶεν πολεμία ἀλλήλαιν, ἡ μὲν, πενήτων, ἡ δὲ, πλουσίων, τούτων δ' ἐν ἑκατέρᾳ πάνυ πολλαί· αἷς ἐὰν μὲν ὡς μιᾷ προσφέρῃ, παντὸς ἂν ἁμάρτοις· ἐὰν δὲ ὡς πολλαῖς, διδοὺς τὰ τῶν ἑτέρων ταῖς ἑτέραις χρήματά τε καὶ δυνάμεις, ἢ καὶ αὐτοὺς, ξυμμάχοις μὲν αἰεὶ πολλοῖς χρήσῃ, πολεμίοις δ' ὀλίγοις· καὶ [1] ὡς ἂν ἡ πόλις σοὶ οἰκῇ σωφρόνως, ὡς ἄρτι ἐτάχθη, μεγίστη ἔσται· οὐ τῷ εὐδοκιμεῖν λέγω, ἀλλ' ὡς ἀληθῶς μεγίστη, καὶ ἐὰν μόνον ᾖ χιλίων τῶν προπολεμούντων· οὕτω γὰρ μεγάλην πόλιν μίαν οὐ ῥᾳδίως οὔτ' ἐν Ἕλλησιν οὔτε ἐν βαρβάροις εὑρήσεις, δοκούσας δὲ πολλὰς καὶ πολλαπλασίας τῆς τηλικαύτης· ἢ ἄλλως οἴει; Οὐ μὰ τὸν Δί', ἔφη. Οὐκοῦν (ἦν δ' ἐγὼ) οὗτος ἂν εἴη κάλλιστος ὅρος τοῖς ἡμετέροις ἄρχουσιν, ὅσην δεῖ τὸ μέγεθος τὴν πόλιν ποιεῖσθαι, καὶ ἡλίκῃ οὔσῃ ὅσην χώραν ἀφορισαμένους, [2] τὴν ἄλλην χαίρειν. Τίς, ἔφη, ὅρος; Οἶμαι μὲν (ἦν δ' ἐγὼ) τόνδε· μέχρις οὗ ἂν ἐθέλοι αὐξανομένη εἶναι μία, μέχρι τούτου αὔξειν, πέρα δὲ μή. Καὶ καλῶς γ', ἔφη. Οὐκοῦν καὶ τοῦτο αὖ ἄλλο πρόσταγμα τοῖς φύλαξι προστάξομεν, φυλάττειν παντὶ τρόπῳ ὅπως μήτε σμικρὰ ἡ πόλις ἔσται μήτε μεγάλη δοκοῦσα, ἀλλά τις ἱκανὴ καὶ μία. Καὶ φαῦλόν γ', ἔφη, ἴσως αὐτοῖς προστάξομεν. Καὶ τούτου γε, ἦν δ' ἐγὼ, ἔτι φαυλότερον τόδε οὗ καὶ ἐν τῷ πρόσθεν ἐπεμνήσθημεν· λέγοντες ὡς δέοι, ἐάν τε τῶν φυλάκων [3] τὶς φαῦ-

1 Ὡς ἄν] Ὡς ἄν mutandum puto in ἕως ἄν.

2 Τὴν ἄλλην χαίρειν] Persuasum me habeo verbum ἐᾶν deesse ante vel post χαίρειν. Quid enim χαίρειν per se significare

λος

tuimus. Quid prohibet? Ampliorem appellationem exigunt aliæ. Nam quæque illarum, civitates multæ sunt, non civitas una, ut dici ab iis qui jocari solent. Duæ nanque saltem futuræ sunt, eæque inter se dissidentes. Una quidem pauperum, divitum altera. Rursusque in utraque istarum permultæ de quibus, si ut de una statuas, penitus aberrabis: sin ut de multis, tribuens ea quæ aliorum sunt, aliis, tam pecunias quam potentias, aut & ipsos præterea, sociis auxiliatoribusque semper multis uteris, hostibus autem paucis. Et quatenus civitas ita ut nuper ordinata est, temperans existat, maxima erit, neque id quidem opinione, sed revera maxima, etiamsi mille duntaxat propugnatoribus constet. Ita enim magnam civitatem unam haud facile vel inter Græcos, vel inter Barbaros reperies, quæ tamen hujuscemodi civitate multo majores videantur, multas invenies. An aliter sentis? Non aliter per Jovem. Annon his igitur pulcherrimus erit nostris principibus augendæ civitatis terminus, cui cum tanta fuerit tantam regionem tribuere decet, reliquam autem demittere? Quisnam terminus? Arbitror equidem, quousque adaucta civitas una permaneat, eo usque augendam esse, non ultra. Præclare. Hoc præterea præceptum custodibus servandum mandabimus, ut omni ratione provideant, ut nec magna videatur esse, sed una atque sufficiens. Atqui leve quid forsan illis præcipiemus. Et istud levius præterea, cujus in superioribus mentionem fecimus, cum diceremus oportere sive quis custos

potest huic loco aptum? at vero χαίρειν ἐᾶν passim apud Græcos scriptores exstat, & quidem apud hunc non minus est frequens, sic infra invenies τὰ δ' ἄλλα χαίρειν ἐῶμεν.

3 Τὶς φαῦλος ἔκγονος] Οὐδὲν ἀνισωτερον νομίζω τῶν ἐν ἀνθρώποις εἶναι. τοῦ τῶν ἴσων τὸν τε κακὸν καὶ τὸν ἀγαθὸν ἀξιοῦσθαι. Xen. Cyr. Instit. lib. 2. §. 14.

λος ἔκγονος γένηται, εἰς τοὺς ἄλλους αὐτὸν ἀποπέμπεσθαι· ἐάν τ' ἐκ τῶν ἄλλων σπουδαῖος, εἰς τοὺς φύλακας· τοῦτο δ' ἐβούλετο δηλοῦν, ὅτι καὶ τοὺς ἄλλους πολίτας, πρὸς ὅ τις πέφυκε, πρὸς τοῦτο ἕνα πρὸς ἓν ἕκαστον ἔργον δεῖ κομίζειν· ὅπως ἂν ἓν τὸ αὐτοῦ ἐπιτηδεύων ἕκαστος, μὴ πολλοὶ, ἀλλ' εἷς γίγνηται· καὶ οὕτω δὴ ξύμπασα ἡ πόλις μία φύηται, ἀλλὰ μὴ πολλαί. Ἔστι γὰρ (ἔφη) τοῦτο ἐκείνου σμικρότερον. Οὗτοι (ἦν δ' ἐγὼ) ὦ γαθὲ Ἀδείμαντε, ὡς δόξειεν ἄντις, ταῦτα πολλὰ καὶ μεγάλα αὐτοῖς προστάττομεν, ἀλλὰ πάντα φαῦλα, ἐὰν τὸ λεγόμενον ἓν μέγα φυλάττωσι, μᾶλλον δὲ ἀντὶ μεγάλου ἱκανόν. Τί τοῦτο; ἔφη. [1] Τὴν παιδείαν, ἦν δ' ἐγὼ, καὶ τροφήν· ἐὰν γὰρ εὖ παιδευόμενοι, μέτριοι ἄνδρες γίγνωνται, πάντα ταῦτα ῥᾳδίως διόψονται, καὶ ἄλλά γε ὅσα νῦν ἡμεῖς παραλείπομεν, τήν τε τῶν γυναικῶν κτῆσιν, καὶ γάμων, καὶ παιδοποιΐας· ὅτι δεῖ ταῦτα κατὰ τὴν παροιμίαν, πάντα ὅτι μάλιστα κοινὰ τὰ τῶν φίλων ποιεῖσθαι. Ὀρθότατα γὰρ (ἔφη) γίγνοιτ' ἄν. Καὶ μὴν, εἶπον, πολιτεία ἐάν πᾶν ἅπαξ ὁρμήσῃ, εὖ ἔρχεται, ὥσπερ κύκλος αὐξανομένη· [2] τροφὴ γὰρ καὶ παίδευσις χρηστὴ σωζομένη, φύσεις ἀγαθὰς ἐμποιεῖ· καὶ αὖ φύσεις χρησταὶ, τοιαύτης παιδείας ἀντιλαμβανόμεναι, ἔτι βελτίους τῶν προτέρων φύονται, εἴς τε τἄλλα καὶ εἰς τὸ γεννᾷν, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις ζώοις. Εἰκός γ', ἔφη. Ὡς τοίνυν διὰ βραχέων εἰπεῖν, τούτου ἀνθεκτέον τοῖς ἐπιμεληταῖς τῆς πόλεως, ὅπως ἂν αὐτοὺς μὴ λάθῃ

1 Τὴν παιδείαν] Egit hactenus de *Custodis* institutione, nunc de *Civitatis*, cujus mores, disciplinas, cæteraque necessaria tractat. Maximum autem a recta institutione capiet emolumentum cujus tanta est vis, ut si silerent leges, *recte instituti*, sese ultro rebus honestis offerrent.

2 Τροφὴ γὰρ] Ἐξ ἀγαθῶν ἀγαθοὶ inquit *Aristoteles*.

Fortes creantur Fortibus &

διά-

ignavus naſcatur, ad alios mittere: ſive ex aliis probus ad cuſtodes ipſos. In quo plane oſtendere volebamus, quod & aliorum civium unumquenque ad unum id quod natura eſt aptus, conducere decet, ut ſuæ quiſque naturæ ſtudium ſequens, non multi, ſed unus exiſtat, atque ita civitas tota una fiat, non multæ. Eſt hoc inquit etiam illo minus. Haudquaquam, o bone vir Adimante, hæc multa ac magna, ut exiſtimaret, aliquis, illis præcipimus, ſed levia omnia exiguaque, ſi unum, ut dici ſolet, magnum ſervent, imo vero pro magno, ſufficiens. Quid iſtud? Educationem, inquam, & eruditionem. Nam ſi bene educati, viri moderati evaſerint, facile omnia iſta diſcernent, tum alia quotcunque nos in præſentia prætermittimus, tum mulierum virorumque conjunctiones, & procreationes filiorum, quod videlicet oporteat *amicorum omnia hæc* ſecundum proverbium *quam maxime eſſe communia.* Rectiſſime profecto ita fieret. Etenim reſpublica ſi ſemel cœperit, bene progreditur, tanquam circulus ſemper augeſcens. Quippe educatio eruditioque bona ſervata, ingenia quoque bona efficit. Rurſuſque bona ingenia educationem hujuſmodi conſecuta, meliora etiam quam prius evadunt, tum ad alia tum ad filios generandos, quemadmodum in cæteris animalibus. Conſentaneum id quidem. Denique, ut ſummatim dicam, hoc diligenter eſt a civitatis *Cuſtodibus* obſervandum, ne

Bonis,
Eſt in Juvencis eſt equis Patrum
Virtus, nec imbellem feroces
Progenerant Aquilæ colum-
bam.
Doctrina ſed vim promovet inſitam
Rectique cultus pectora roborant. Hor. lib. 2. Od. 4.

ἀφθαρὲν, ἀλλὰ παρ' ἅπαντα αὐτὸ φυλάττωσι, τὸ μὴ νεωτερίζειν περὶ γυμναστικὴν τε καὶ μουσικὴν παρὰ τὴν τάξιν, ἀλλ' ὡς οἷόν τε μάλιστα φυλάττειν· φοβερώτερον ὅταν τις λέγῃ ὡς τὴν ᾠδὴν μᾶλλον ἐπιφρονέουσιν ἄνθρωποι,

Ἥτις ἀοιδοῖσι νεωτάτη ἀμφιπέλῃται,

μὴ πολλάκις τὸν ποιητὴν τις οἴηται λέγειν οὐκ ᾄσματα νέα, ἀλλὰ τρόπον ᾠδῆς νέον, καὶ τοῦτο ἐπαινῇ· δεῖ δ' οὔτ' ἐπαινεῖν τὸ τοιοῦτον, οὔτε ὑπολαμβάνειν· εἶδος γὰρ κακὸν μουσικῆς μεταβάλλειν, φυλακτέον, ὡς ἐν ὅλῳ κινδυνεύοντα· ὑδαμοῦ γὰρ κινοῦνται μουσικῆς τρόποι ἄνευ πολιτικῶν νόμων τῶν μεγίστων, ὡς φησί τε [2] Δάμων, καὶ ἐγὼ πείθομαι. Καὶ ἐμὲ τοίνυν (ἔφη ὁ Ἀδείμαντος) θὲς τῶν πεπεισμένων. Τὸ δὴ [3] φυλακτέον (ἦν δ' ἐγὼ) ὡς ἔοικεν, ἐν ταύτῃ που οἰκοδομητέον τοῖς φύλαξιν ἐν μουσικῇ. Ἡ γοῦν παρανομία αὕτη ῥᾳδίως (ἔφη) λανθάνει παραδυομένη. Ναὶ, ἔφην, ὡς ἐν παιδιᾶς γε μόρῳ καὶ [4] ὡς κακὸν οὐδὲν ἐργαζομένη. Οὐδὲ γὰρ ἐργάζεται, ἔφη, ἄλλο γε, ἢ κατὰ μικρὸν εἰσοικισαμένη, [5] ἠρέμα ῥωννῦσα εἰς τὰ ἤθη τε καὶ τὰ ἐπιτηδεύματα· [6] ἐκ δὲ τούτων, εἰς τὰ πρὸς ἀλλήλους ξυμβόλαια

1 Ἥτις ἀοιδοῖσι] Homer. *Odyss.* lib. 1.

2. Φησί τε Δάμων] *Damon* vir excultissimus, *Agathoclis* discipulus, scripsit de numeris & Rythmo. Vide supra pag. 198.

3 Φυλακτέον] *Musica*, id est *Religio*, præcipua Principis debet esse cura, ut floreat Respub. dum illa manet inviolata. Magnam *Romani* imperii continuationis causam ait poeta fuisse illorũ pietatem. Tu *Romane* (inquit) *Diis Te minorem quod geris imperas.* Et nisi Deus principibus fuerit Gubernator (inquit *Pindarus*) facile est civitatem concutere etiam *imbecillioribus*

Ῥᾴδιον μὲν γὰρ πόλιν σείσαι καὶ ἀφανερπέρεις
Εἰ μὴ Θεὸς ἀγημόνεσσι. Κυβερνατὴρ γένηται. *Pyth.* 4.

Maxime curabat Imperator *Cyrus*, quo res magis prosperæ evenirent Θεὸς αὐτῷ εἶναι φίλος.

4 Ὡς κακὸν οὐδὲν] *Fallit enim* Vitium *specie* Vir-

μείζων

clam illis ignorantibus corrumpatur. Imo iſtud in primis curent, nequid præter ordinem a nobis datum circa gymnaſticam & muſicam innovent, ſed illud quam maxime fieri poteſt quiſque ſequatur. Et cum dixerit aliquis poëticum illud, Homines videlicet *novis cantibus admodum delectari*, metuere debent iſti cuſtodes, ne ſæpenumero poëtam, quis putet non cantilenas novas, ſed modos canendi novos dicere, eoſque laudet. Oportet autem neque laudare quicquam tale, neque ſuſcipere. Cavendum ſane ſpeciem muſicæ novam inducere, tanquam in toto naufragium. Nuſquam enim muſicæ modi mutantur, abſque maximarum legum civilium mutatione, ut ait Damon, cui & ipſe aſſentior. Me quoque ſcito, o Socrates, aſſentiri. Arcem igitur quandam, ut videtur, cuſtodiæ gratia, his ipſis cuſtodibus circa muſicam ſtruere oportet. Nempe ejuſmodi peccatum clam ac facile ſurrepit. Certe joci cujuſdam inſtar, atque ita ut nihil lædere videatur. Nihil enim (inquit) aliud facit, quam quod familiaritatem affectans, ſenſim in mores ſerpit & ſtudia: ex his deinde ad commercia emergit amplius: demum a

tutis & *umbra.*

Pro bonis mala *amplectimur:* vitia *nobis ſub* virtutum *nomine obrepunt:* temeritas *ſub titulo* Fortitudinis *latet:* Moderatio *vocatur* ignavia: *pro* cauto timidus *accipitur.* Senec. Ep. 46.

5 Ὑποῤῥεῖ πρὸς τὴν ἦθη] *Aſſentior* Platoni *nihil tam facile in animos teneros atque molles influere. quam varios canendi ſonos.* Cic. Leg. lib. 2.

6 Ἐκ ὧν τύπων] *Id quod unum toto agimus animo, nondum perfecimus ut* peſſimi *eſſemus. In* proceſſu vitia *ſunt. Invenit* luxuria *aliquid novi in quod* inſaniat. *Invenit* impudicitia *novam contumeliam ſibi. Invenit* deliciarum diſſolutio & tabes *aliquid* tenerius molliuſque *quo pereat.* Senec. nat. Quæſt. lib. 7.

Nemo repente fuit turpiſſimus ait Poeta.

& in alio loco qui huic congruit.

——— *Quis*
Peccandi finem poſuit ſibi?

Juv. Sat. 13.

μείζων ἐκβαίνει· ἐκ δὲ δὴ τῶν ξυμβολαίων ἔρχεται ἐπὶ τοὺς νόμους καὶ πολιτείας, σὺν πολλῇ, ὦ Σώκρατες, ἀσελγείᾳ· ἕως ἂν τελευτῶσα πάντα ἰδίᾳ καὶ δημοσίᾳ ἀνατρέψῃ. Εἶεν, ἦν δ' ἐγώ· οὕτω τοῦτ' ἔχει. Δοκεῖ μοι, (ἔφη.) Οὐκοῦν, ὃ ἐξ ἀρχῆς ἐλέγομεν, [1] τοῖς ἡμετέροις παισὶν ἐνομωτέρου εὐθὺς παιδείας μεθεκτέον· [2] ὡς, παρανόμου γιγνομένης αὐτῆς, καὶ παίδων τοιούτων, ἐννόμους τε καὶ σπουδαίους ἐξ αὐτῶν ἄνδρας αὐξάνεσθαι ἀδύνατον ὄν. Πῶς δ' οὐχί; ἔφη. Ὅταν δὴ ἄρα [3] καλῶς ἀρξάμενοι παῖδες παίζειν, εὐνομίαν διὰ τῆς μουσικῆς εἰσδέξωνται, πάλιν τοὐναντίον ἢ ἐκείνοις εἰς πάντα ξυνέπεταί τε καὶ αὔξει, ἐπανορθοῦσα εἴτι καὶ πρότερον τῆς πόλεως ἔκειτο. Ἀληθῆ μέντοι, ἔφη. Καὶ τὰ σμικρὰ ἄρα (εἶπον) δοκοῦντα εἶναι νόμιμα, ἐξευρίσκουσιν οὗτοι, ἃ οἱ πρότερον ἀπώλλυσαν πάντα. Ποῖα; Τὰ τοιάδε· σιγάς τε τῶν νεωτέρων παρὰ πρεσβυτέροις, ὡς πρέπει, καὶ κατακλίσεις, καὶ [4] ὑπαναστάσεις, καὶ γονέων θεραπείας, καὶ κουράς γε καὶ ἀμπεχόνας, καὶ ὑποδέσεις, καὶ ὅλον τὸν τοῦ σώματος σχηματισμὸν, καὶ τἄλλα ὅσα τοιαῦτα· ἢ οὐκ οἴει; Ἔγωγε. Νομοθετεῖν δ' αὐτὰ οἶμαι εὔηθες· οὔτε γάρ που γίγνεται, οὔτ' ἂν μείνειε, λόγῳ τε καὶ γράμμασι νομοθετηθέντα. Πῶς γάρ; Κιδυνεύει γοῦν (ἦν δ' ἐγὼ) ὦ Ἀδείμαντε, ἐκ τῆς παιδείας ὅποι ἄν τις ὁρμήσῃ, τοιαῦτα καὶ τὰ ἑπόμενα εἶναι· ἢ

1 Τοῖς ἡμετέροις παισὶν] *Plurimum enim intererit quibus artibus & quibus hunc Tu Moribus instituas.* Idem Sat. 14.

2 Ὡς, παρανόμου] Post ὡς, interpunxi, ut ostenderem non jungi cum proxime sequente participio γιγνομένης, sed cum ἀδύνατον ὄν. *Steph.*

3 Καλῶς ἀρξάμενοι] Quando recta institutione instituuntur pueri a teneris annis, & asperioribus formantur studiis, haud facile deflectunt.

——*Venaticus ex quo*
Tempore cervinam pellem latravit in aula.

οὐκ

commerciis in leges reſpublicaſque erumpit magna ô Socrates, cum petulantia; quouſque tandem privatim ac publice cuncta pervertat. Sic ſe res habet, inquam ego. Sane, ut mihi quidem videtur. Ergo ut a principio diximus, ſtatim a primis annis pueri legitimam diſciplinæ rationem capeſſant. Nam ſi diſſolutæ educationi aſſueverint, cum ſint tales pueri nunquam legitimi probique viri evadere poterunt. Quidni? Quando itaque bene incipientes pueri jocari ac ludere, legitimum per muſicam morem imbibunt, in contraria his omnino ac ſuperioribus muſica tendit, atque augeſcit, erigens ſiquid antea in civitate jacebat. Vera loqueris. Quæ igitur exigua videntur eſſe civitatis inſtituta, ut dixi, hi reperient, quæ ſuperiores omnia perturbabant. Qualia? Hæc videlicet. Quemadmodum tacere debent coram ſenibus juniores, cedere illis locum atque aſſurgere, parentes colere: quis tonſuræ modus ſervandus cuique, quibus veſtibus calceiſve utendum, & omnino quis corporis ornatus conveniat, ac cætera generis ejuſdem. An non putas? Equidem. Atqui legibus hæc præſcribere, ineptum eſſe arbitror. Nam neque id uſquam fit, neque conſtarent hæc verbis literiſque mandata. Quidni? Apparet itaque, ô Adimante quale cujuſque fuerit puerilis educationis initium, talia fore etiam quæ ſequuntur. An non ſimile

Militat in ſilvis catulus.
Hor. Epiſt. lib. 2. Ep. 2.

Sapiens quoque dicit, *Rectam puero monſtrato viam, & in illa ambulabit ſenex.*

Ἃ δ' ἂν μάθῃ τὶς παῖς πατὴρ σώζειν φιλεῖ
Πρὸς γῆρας· οὕτω παῖδας ἐκπαιδεύετε.

Euripid. in Temeno.

4 Καὶ ἀναστάσεις] Illa velit renovare ſæcula quando

Credebant hoc grande nefas & Morte piandum
Si juvenis vetulo non aſſurrexerat, & ſi
Barbato cuicunque puer.
Juv. Sat. 13.

οὐκ ἀεὶ [1]τὸ ὅμοιον ὂν ὅμοιον παρακαλεῖ; Τί μήν; Καὶ τελευτῶν δὴ, οἶμαι, φαῖμεν ἂν εἰς ἕν τι τέλεον καὶ νεανικὸν ἀποβαίνειν αὐτὸ, ἢ ἀγαθὸν, ἢ καὶ τοὐναντίον· [2]τί γάρ; Οὐκ, ἦ δ' ὅς. Ἐγὼ μὲν τοίνυν (εἶπον) διὰ ταῦτα οὐκ ἂν ἔτι τὰ τοιαῦτα ἐπιχειρήσαιμι νομοθετεῖν. Εἰκότως γ', ἔφη. Τί δέ; ὦ πρὸς θεῶν, ἔφην, τάδε τὰ ἀγοραῖα ξυμβολαίων τε πέρι κατ' ἀγορὰν [3]ἕκαστοι ἃ πρὸς ἀλλήλους συμβάλλουσιν· εἰ δὲ βούλει, καὶ χειροτεχνικῶν πέρι ξυμβολαίων, καὶ λοιδοριῶν, καὶ αἰκίας, καὶ δικῶν λήξεις, καὶ δικαστῶν καταστάσεις, καὶ εἴπου τελῶν τινὲς ἢ πράξεις ἢ θέσεις ἀναγκαῖοί εἰσιν, ἢ κατ' ἀγορὰς, ἢ λιμένας, ἢ καὶ τοπαράπαν ἀγορανομικὰ ἄττα, ἢ ἀστυνομικὰ, ἢ ἐλλιμενικὰ, ἢ ὅσα ἄλλα τοιαῦτα, τούτων τολμήσομεν τὶ νομοθετεῖν; Ἀλλ' οὐκ ἄξιον ἔφη, ἀνδράσι καλοῖς κἀγαθοῖς ἐπιτάττειν· τὰ πολλὰ γὰρ αὐτῶν ὅσα δεῖ νομοθετήσασθαι, ῥᾳδίως που εὑρήσουσι. Ναὶ ὦ φίλε, εἶπον, ἐάν γε θεὸς αὐτοῖς διδῷ σωτηρίαν τῶν νόμων ὧν ἔμπροσθεν διήλθομεν. Εἰ δὲ μή γε (ἦ δ' ὅς) πολλὰ τοιαῦτα τιθέμενοι ἀεὶ καὶ ἐπανορθούμενοι, τὸν βίον διατελέσουσιν, οἰόμενοι ἐπιλήψεσθαι οὗ βελτίστου; Λέγεις (ἔφην ἐγὼ) βιώσεσθαι τοὺς τοιούτους, ὥσπερ τοὺς κάμνοντάς τε, καὶ οὐκ ἐθέλοντας, ὑπὸ ἀκολασίας, ἐκβῆναι πονηρᾶς διαίτης. Πάνυ μὲν οὖν. Καὶ μὴν οὗτοί γε χαριέντως διατελοῦσιν· ἰατρευόμενοι γὰρ, οὐδὲν περαίνουσι, πλήν γε ποικιλώτερα καὶ μείζω ποιοῦσι τὰ νοσήματα, καὶ αἰεὶ ἐλπίζοντες, ἐάν τις φάρ-

1 Τὸ ὅμοιον ὂν ὅμοιον]
Si damnosa senem juvat alea, ludit & hæres
Bullatus, parvoque. eadem movet arma fritillo.
Juv. Sat. 14.

Vide supra lib. 3. pag. 222. 224. ubi multa sunt huic loco consentanea.

2 Τὶ γάρ;] Perperam ita legi puto, Οὐκ, ἦ δ' ὅς, & negationem cum τὶ γὰρ jungendam

μακον

τομὴν, ὅταν ὁρμήσωμεν· ταῦτ' ἔσται τὰ χαλεπὰ διοίσαντα ἀξίως λόγου. Καὶ ἐμοὶ δοκεῖ, ἔφη. Ὧ δὴ τοίνυν ὑπιχειρῶμεν αὐτὰ ὁρίζεσθαι, εἴτε τὰ αὐτὰ ἀλλήλοις, εἴτε ἕτερά ἐστι. Πῶς; Δῆλον ὅτι ταὐτὸν ταναντία ποιεῖν ἢ πάσχειν τ' ταὐτόν γε καὶ πρὸς ταυτὸν οὐκ ἐθελήσει ἅμα· ὥστε ἐάν που ὑπολάβωμεν ἐν αὐτοῖς ταῦτα γινόμενα, εἰσόμεθα ὅτι οὐ ταυτὸν ἦν, ἀλλὰ πλείω. Εἶεν. Σκόπει δὴ ὃ λέγω. Λέγε, ἔφη. Ἑστάναι (εἶπον) καὶ κινεῖσθαι τὸ αὐτὸ ἅμα τ' τὸ αὐτὸ ἆρα δυνατόν; Οὐδαμῶς. Ἐπὶ τοίνυν ἀκριβέστερον ὁμολογησώμεθα, μή ποι προϊόντες ἀμφισβητήσωμεν· εἰ γάρ τις λέγει ἄνθρωπον ἑστηκότα, κινούμενα δὲ τὰς χεῖράς τε καὶ τὴν κεφαλὴν, ὅτι ὁ αὐτὸς ἕστηκέ τε καὶ κινεῖται ἅμα, οὐκ ἂν, οἶμαι, ἀξιοῖμεν οὕτω λέγειν δεῖν· ἀλλ' ὅτι τὸ μέν τι αὐτοῦ ἕστηκε, τὸ δὲ κινεῖται· οὐχ οὕτως; Οὕτως. Οὐκοῦν καὶ εἰ ἔτι μᾶλλον χαριεντίζοιτο ὁ ταῦτα λέγων, κομψευόμενος, ὡς οἵ γε τροχίλοι ὅλοι ἑστάσί τε ἅμα καὶ κινοῦνται, ὅταν ἐν τῷ αὐτῷ πήξαντες τὸ κέντρον περιφέρωνται, ἢ καὶ ἄλλό τι κύκλῳ περιὸν ἐν τῇ αὐτῇ ἕδρᾳ, τοῦτο φαῖμεν, οὐκ ἂν ἀποδεχοίμεθα, ὡς οὐ τ' ταὐτὰ ἑαυτῶν τὰ τοιαῦτα τότε μενόντων τε καὶ φερομένων· ἀλλὰ φαῖμεν ἂν ἔχειν αὐτὰ εὐθύ τε καὶ περιφερὲς ἐν αὐτοῖς· καὶ τ' μὲν τὸ εὐθὺ, ἑστάναι· (οὐδαμῇ γὰρ ἀποκλίνειν) τ' δὲ τὸ περιφερὲς, κύκλῳ κινεῖσθαι· ὅταν δὲ τ' εὐθυωρίαν ἢ εἰς δεξιὰν ἢ εἰς ἀριστερὰν ἢ εἰς τὸ ἔμπροσθεν ἢ εἰς τὸ ὄπισθεν ἐγκλίνῃ ἅμα περιφερόμενον, τό τε οὐδαμῇ ἐστὶν ἑστάναι. Καὶ ὀρθῶς γε, ἔφη. Οὐδὲν ἄρα τ' τοιούτων λεγόμενον ἡμᾶς ἐκπλήξει· οὐδὲ μάλλόν τι πείσει, ὡς πολέ τι ἂν τὸ αὐτὸ ἅμα ὂν, τ' τὸ αὐτὸ πρὸς τὸ αὐτὸ ταναντία παθοι, ἢ καὶ ποιήσειεν. Οὐκοῦν ἐμέ γε, ἔφη. Ἀλλ' ὅμως (ἦν δ' ἐγὼ) ἵνα μὴ ἀναγκα-

ζώμεθα

que ipſorum explemus cum conciti rem aggredimur. Hæc haud facile pro rei dignitate diſcernerentur. Mihi quoque idem videtur. Sic autem aggrediamur hæc definire, ſive eadem ſunt inter ſe, ſive diverſa. Quonam pacto? Conſtat plane idem contraria facere ſeu pati ſecundum idem & ad idem ſimul non poſſe. Quamobrem ſi quando reperiemus in ipſis hæc fieri, intelligemus non unum idem hæc eſſe ſed plura. Eſto. Animadverte quod dico. Dic. Stare ſimul atque moveri idem ſecundum idem nunquid poteſt? Nullo modo. Præterea hæc diligentius confirmemus, nequa procedentibus nobis ambiguitas forte ſuboriatur. Siquis enim dixerit hominem ſtantem quidem, moventem vero manus & caput, eundem ſtare ſimul atque moveri, haudquaquam ita dicendum cenſebimus, ſed partem quidem ejus ſtare, partem vero moveri? An non ita? Ita prorſus. Quod ſi artificioſius, & argutius iſte luſerit, aſſerens turbinem trochumque totum moveri ſimul & ſtare, quando in eodem puncto centrum aculeumque figens revolvitur: vel aliud quicquam, dicens idem agere, cum eidem affixum cardini circunfertur: nequaquam aſſentiemur. propterea quod non ſecundum eandem ſui partem hæc tunc moveantur & maneant. Dicendum quippe habere ipſa rectum in ſe atque rotundum: & ſecundum rectum quidem ſtare, cum nulla ex parte declinent; ſecundum vero rotundum, in orbem moveri. Quoties autem dum quid revolvitur, in rectum quoque devehitur, ſive ad dextram, ſive ad ſiniſtram, vel ante, vel retro, tunc nuſquam permanet. Recte admodum. Quare nulla ex his objectionibus nos perturbabit,

ζώμεθα πάσας τὰς τοιαύτας ἀμφισβητήσεις ἐπεξιόντες καὶ βεβαιούμενοι ὡς οὐκ ἀληθεῖς οὔσας μηκύνειν, ὑποθέμενοι, ὡς τούτου οὕτως ἔχοντος, εἰς τὸ πρόσθεν, προϊώμεν ὁμολογήσαντες, ἐάν ποτε ἄλλῃ φανῇ ταῦτα ἢ ταύτῃ, πάντα ἡμῖν τὰ ἀπὸ τούτου ξυμβαίνοντα λελυμένα ἔσεσθαι. Ἀλλὰ χρὴ (ἔφη) ταῦτα ποιεῖν. Ἆρ' οὖν (ἦν δ' ἐγὼ) τὸ ἐπινεύειν, τῷ ἀνανεύειν καὶ τὸ ἐφίεσθαι τινὸς λαβεῖν τῷ ἀπαρνεῖσθαι, καὶ τὸ προσάγεσθαι τῷ ἀπωθεῖσθαι πάντα τὰ τοιαῦτα τῶν ἐναντίων ἀλλήλοις θείης, εἴτε ποιημάτων εἴτε παθημάτων; οὐδὲν γὰρ ταύτῃ διοίσει. Ἀλλ', ἦ δ' ὅς, τῶν ἐναντίων. Τὶ οὖν; (ἦν δ' ἐγὼ) διψῆν καὶ πεινῆν, καὶ ὅλως τὰς ἐπιθυμίας, καὶ αὖ τὸ ἐθέλειν καὶ τὸ βούλεσθαι, οὐ πάντα ταῦτα εἰς ἐκεῖνά ποι ἂν θείης τὰ εἴδη τὰ νῦν λεχθέντα; οἷον, ἀεὶ τὴν τοῦ ἐπιθυμοῦντος ψυχὴν οὐχὶ ἤτοι ἐφίεσθαι φήσεις ἐκείνου οὗ ἂν ἐπιθυμῇ, ἢ προσάγεσθαι τοῦτο ὃ ἂν βούληται οἱ γενέσθαι; ἢ αὖ καθόσον ἐθέλει τὶ οἱ πορισθῆναι, ἐπινεύειν τοῦτο πρὸς αὑτὴν, ὥσπερ τινὸς ὁρῶντος, ἐπορεγομένην αὐτοῦ τῆς γενέσεως; Ἔγωγε. Τὶ δέ; τὸ ἀβουλεῖν, καὶ μὴ ἐθέλειν, μηδ' ἐπιθυμεῖν, οὐκ εἰς τὸ ἀπωθεῖν καὶ ἀπελαύνειν ἀπ' αὐτῆς, καὶ εἰς ἅπαντα [1] τἀναντία φήσομεν ἐκείνοις; Πῶς γὰρ οὔ; Τούτων δὴ οὕτως ἐχόντων, ἐπιθυμιῶν τὶ φήσομεν εἶναι εἶδος; καὶ ἐναργεστάτας αὐτῶν τούτων, ἥν τε δίψαν καλοῦμεν καὶ ἣν πεῖναν; Φήσομεν, ἦ δ' ὅς. Οὐκοῦν τὴν μὲν, ποτοῦ, τὴν δὲ ἐδωδῆς; Ναί. Ἆρ' οὖν καθόσον δίψα ἐστὶ, πλείονος ἂν τινός που λέγωμεν ἐπιθυμία ἐν τῇ ψυχῇ εἴη; Οἷον δίψα ἐστί. Δίψα ἄρα γε θερμοῦ ποτοῦ ἢ ψυχροῦ, ἢ πολλοῦ ἢ ὀλίγου, ἢ καὶ [2] ἐν ὀλίγῳ ποιοῦ τινος πόματος; ἢ ἐὰν μέν τις θερμότης

1 Τἀναντία φήσομεν] Lege τἀναντία θήσομεν, quoniam talis usus verbi τιθέναι occurret infra.

2 Ἂν ὀλίγῳ] Pro ἂν ὀλίγῳ invenitur alia lectio aptior, ἐνὶ λόγῳ quia verba in hoc sen-

τῷ

turbabit, perſuadebitque, quod idem quandoque ſimul ſecundum idem atque ad idem, contraria, vel agat, vel patiatur. Me quidem minime iſta movebunt. Veruntamen ne in iſtis omnibus controverſiis perſequendis ac diſceptandis quæ falſæ ſunt, diutius cogamur inſiſtere, his jam quaſi conceſſis ac poſitis, ulterius progrediamur, ſponſione inter nos facta ut ſi quando aliter quam ſic ſe habere hæc appareant, quæcunque ex his efficiuntur, irrita ſint. Sic nimirum decet. Nonne annuere & renuere, cupere aliquid, accipere & recuſare, aſciſcere & rejicere, inter ſe contraria pones, ſive actiones ſeu paſſiones? Nihil enim intereſt. Contraria. Quid autem hæc? Eſurire, ſitire, & omnino cupere, velle, eligere, nonne ad eorum ſpecies referes, quæ modo diximus? Veluti ſemper cupientis animam nonne vel propenſam eſſe dices in illud quod appetit, vel aſciſcere quod ſibi adeſſe velit, vel quatenus vult aliquid ſibi porrigi, annuere, & illud ad ſe trahere, amantis more ut iſthuc fiat affectantem. Equidem. Quid vero, nolle, aſpernari, non cupere, nonne in rejiciendi repellendique ſpeciem, & in omnia illis contraria referemus? Quidni? Cum hæc ita ſe habeant, ſpeciem aliquam cupiditatum eſſe dicemus, & harum ipſarum manifeſtiſſimas, quas ſitim & famem appellamus? Dicemus utique. Et hanc quidem potus, illam cibi? Ita eſt. Nunquid quatenus ſitis eſt, alicujus præterea cupiditas in anima eſt? Plane. Nunquid calidæ potionis, vel frigidæ, vel multæ vel paucæ? Vel in pauco qualis cujuſdam poculi? Vel potius ſi calor ſitienti ineſt, frigidi appetitum inducit: ſin autem frigus, calidi?

ſu paulo poſt invenimus, ratione habita vel reſpectu ad potum aliquem.

Quod

τῷ δίψει προσείη, τὴν τοῦ ψυχροῦ ἐπιθυμίαν προσπαρέχοιτ' ἄν; ἐὰν δὲ ψυχρότης, τὴν τοῦ θερμοῦ; ἐὰν δὲ διὰ πλήθους παρουσίαν πολλὴ ἡ δίψα ἦ, τὴν τοῦ πολλοῦ παρέξεται; ἐὰν δὲ ὀλίγη, τὴν τοῦ ὀλίγου; αὐτὸ δὲ τὸ διψῆν οὐ μή ποτε ἄλλου γένηται ἐπιθυμία, ἢ οὗπερ πέφυκεν, αὐτοῦ πόματος; καὶ αὖ τὸ πεινῆν, βρώματος; Οὕτως (ἔφη) αὐτή γε ἡ ἐπιθυμία ἑκάστη, αὐτοῦ μόνον ἑκάστου οὗ πέφυκε· οὗ δὲ τοίου ἢ τοίου, τὰ προσγιγνόμενα. Μήτοι τὶς (ἦν δ' ἐγὼ) ἀσκέπτους ἡμᾶς ὄντας θορυβήσῃ, ὡς οὐδεὶς ποτοῦ ἐπιθυμεῖ, ἀλλὰ χρηστοῦ ποτοῦ καὶ οὐ σίτου· ἀλλὰ χρηστοῦ σιτοῦ· πάντες γὰρ ἄρα τῶν ἀγαθῶν ἐπιθυμοῦσιν· εἰ οὖν ἡ δίψα ἐπιθυμία ἐστὶ, χρηστοῦ ἂν εἴη, εἴτε πόματος, εἴτε ἄλλου ὅτου ἐστὶν ἐπιθυμία· καὶ αἱ ἄλλαι οὕτως. Ἴσως γὰρ ἂν (ἔφη) δοκοῖ τι λέγειν ὁ ταῦτα λέγων. Ἀλλὰ μέντοι (ἦν δ' ἐγὼ) ὅσά γ' ἐστὶ τοιαῦτα οἷα εἶναί του, τὰ μὲν ποιὰ ἄττα, ποιοῦ τινος ἐστὶν, ὡς ἐμοὶ δοκεῖ· τὰ δ' αὐτὰ ἕκαστα, ἐκ τοῦ ἑκάστου μόνον. Οὐκ ἔμαθον, ἔφη. Οὐκ ἔμαθες (ἔφην) ὅτι τὸ μεῖζον, τοιοῦτόν ἐστιν οἷον τινὸς εἶναι μεῖζον; Πάνυ γε. Οὐκοῦν τοῦ ἐλάττονος; Ναί. Τὸ δέ γε πολὺ μεῖζον, πολὺ ἐλάττονος· ἦ γάρ; Ναί. Ἆρ' οὖν καὶ τὸ ποτὲ μεῖζον, ποτὲ ἐλάττονος, καὶ τὸ ἐσόμενον μεῖζον ἐσομένου πολὺ ἐλάττονος; Ἀλλὰ τί μήν; ἦ δ' ὅς. Καὶ τὰ πλείω δὴ πρὸς τὰ ἐλάττω, καὶ τὰ διπλάσια πρὸς τὰ ἡμίσεα, καὶ πάντα τὰ τοιαῦτα· καὶ αὖ βαρύτερα πρὸς κουφότερα· καὶ θάττω, πρὸς τὰ βραδύτερα· καὶ ἔτι γε τὰ θερμὰ πρὸς τὰ ψυχρὰ, καὶ πάντα τὰ τούτοις ὅμοια, ἆρ' οὐχ οὕτως ἔχει; Πάνυ μὲν οὖν Τί δὲ τὰ περὶ τὰς ἐπιστήμας; οὐχ ὁ αὐτὸς τρόπος; ἐπιστήμη μὲν αὐτὴ, μαθήματος αὐτοῦ ἐπιστήμη ἐστὶν, ἢ ὅτου δεῖ θεῖναι τὴν ἐπιστήμην· ἐπιστήμη δέ τις καὶ ποιά τις, ποιοῦ τινος· καὶ τινὸς λέγω δὲ τὸ τοιόνδε· οὐκ ἐπει-

δὴ

Quod ſi vehemens & copioſum id fuerit, multa ſitis, multi aviditatem præbebit: ſin autem paucum, pauci? Ipſum vero ſitire nunquam alicujus alterius appetitio eſt, quam cujus ſuapte natura eſt, ipſius videlicet potionis: rurſuſque eſurire, cibi? Ita certe ipſa cupiditas quæque, ipſius cujuſque eſt ſolum cujus a natura eſt. Talis autem vel talis quum dicitur, in acceſſione eſt. Cavendum eſt autem, ne quis nos improvidos turbet, inferens neminem potum cupere, (ſimpliciter) ſed potum bonum, vel cibum, ſed bonum cibum, ſiquidem bona omnes expetunt. Quare ſi ſitis appetitio eſt, boni eſt, ſive potionis ſeu cujuſvis alterius eſt aviditas. Similiterque de cæteris. Fortaſſe, inquit, nonnihil efficere videbitur, qui talia dixerit. Veruntamen quotcunque ejuſmodi ſunt ut alicujus ſint, talia quædam talis cujuſdam ſunt, ut arbitror. Ipſa autem quæcunque ipſius cujuſque duntaxat. Haud intelligo equidem. Non intelligis majus ipſum ejuſmodi eſſe, ut ſemper aliquo majus exiſtat? plane. Nonne minore? Minore. Multo autem majus, multo minore, an non? Sic eſt. Et quondam majus, quondam minore, & futurum majus futuro minore? Nihil prohibet. Atque etiam plura ad pauciora, dupla ad dimidia & omnia talia, itemque graviora ad leviora, & velociora ad tardiora, & calida item ad frigida, omniaque horum ſimilia eodem modo ſe habent. Certe. Nonne & de his quæ ad ſcientias ſpectant, eadem ratio? Scientia quidem ipſa rei ipſius quæ ſcitur, ſcientia eſt, vel cujuſcunque alterius dicenda eſt eſſe ſcientia. At vero ſcientia quædam, & ſcientia talis rei, cujuſdam, & talis eſſe dicitur. Tale vero aliquid dico. Poſtquam ædificandarum ædium ſcientia extitit, ab aliis ſcientiis diſcreta eſt, adeo ut

ædifica-

δὴ οἰκίας ἐργασίας ἐπιστήμη ἐγένετο, διήνεγκε τῶν ἄλλων ἐπιστημῶν, ὥς τε οἰκοδομική κληθῆναι; Τί μήν; Ἆρ' οὐ τῷ ποιά τις εἶναι, οἵα ἑτέρα οὐδεμία τῶν ἄλλων; Ναί. Οὐκοῦν ἐπειδὴ ποιοῦ τινος, καὶ αὐτὴ ποιά τις ἐγένετο; καὶ αἱ ἄλλαι οὕτω τέχναι τε καὶ ἐπιστήμαι; Ἔστιν οὕτω. Τοῦτο τοίνυν (ἦν δ' ἐγὼ) φάθι με τότε βούλεσθαι λέγειν, εἰ ἄρα νῦν ἔμαθες ὅτι ὅσα ἐστὶν οἷα εἶναι τοῦ, αὐτὰ μὲν μόνα αὐτῶν μόνων ἐστί· τῶν δὲ ποιῶν τινων, ποιὰ ἄττα· καὶ οὗτοι λέγω ὡς οἵων ἂν ᾖ, τοιαῦτα καὶ ἔστιν· (ὡς ἄρα καὶ τῶν ὑγιεινῶν καὶ νοσωδῶν ἡ ἐπιστήμη, ὑγιεινὴ καὶ νοσώδης· καὶ τῶν κακῶν καὶ τῶν ἀγαθῶν, κακὴ καὶ ἀγαθὴ) ἀλλ' ἐπειδὴ οὐκ αὐτοῦ οὗπερ ἐπιστήμη ἐστὶν, ἐγένετο ἐπιστήμη, ἀλλὰ ποιοῦ τινος (τοῦτο δ' ἦν ὑγιεινὸν καὶ νοσῶδες) ποιὰ δή τις συνέβη καὶ αὐτὴ γενέσθαι· καὶ τοῦτο αὐτὴν ἐποίησε μηκέτι ἐπιστήμην ἁπλῶς καλεῖσθαι, ἀλλὰ οὗ ποιοῦ τινὸς προσγενομένου, ἰατρικήν. Ἔμαθον, ἔφη· καί μοι δοκεῖ οὕτως ἔχειν. Τὸ δὴ δίψος (ἦν δ' ἐγὼ) οὐ τούτων θήσεις τῶν τινος εἶναι τοῦτο ὅπερ ἐστιν; ἔστι δὲ δήπου δίψος; Ἔγωγε (ἦ δ' ὃς) πόματος γε. οὐκοῦν ποιοῦ μέν τινος πόματος ποιόν τι [1] καὶ δίψος; δίψος δ' οὖν αὐτὸ, οὔτε πολλοῦ οὔτε ὀλίγου, οὔτε ἀγαθοῦ οὔτε κακοῦ, οὐδὲ ἑνὶ λόγῳ ποιοῦ τινος, ἀλλ' αὐτοῦ πόματος μόνον, αὐτὸ δίψος πέφυκε. Παντάπασι μὲν οὖν. Τοῦ διψῶντος ἄρα ἡ ψυχὴ καθόσον διψῇ, οὐκ ἄλλό τι βούλεται ἢ πιεῖν· καὶ τούτου ὀρέγεται, καὶ ἐπὶ τοῦτο ὁρμᾷ. Δῆλον δή. [2] Οὐκοῦν εἴποτέ τι αὐτὴν ἀνθέλκει διψῶσαν, ἕτερον ἄν τι ἐν αὐτῇ εἴη αὐτοῦ οὗ διψῶντος, καὶ ἄγοντος, ὥσπερ θηρίον, ἐπὶ τὸ πιεῖν, οὐ γὰρ δὴ, φαμὲν, τῷ γε αὐτῷ τὸ αὐτὸ ἑαυτοῦ περὶ τὸ αὐτὸ ἅμα τἀναντία

1 Καὶ δίψος] Post hæc verba in quibusdam veteribus exemplis adduntur hæc, οὐ δῆτα;

πράτ-

ædificatoria appellata ſit. Quidni? Nonne ex eo quod talis ſit qualis aliarum nulla? Nempe. Ergo quia talis cujuſdam, ideo talis quædam affecta eſt. Eodemque modo cæteræ artes atque ſcientiæ. Eſt ita. Hoc itaque tum inferre me voluiſſe dicito, ſi modo nunc intellexiſti, quod quæcunque ejuſmodi ſunt, ut alicujus ſint, ipſa quidem ſola ipſorum ſunt duntaxat, talium vero quorundam talia quædam. Neque vero ideo dico, quod qualium ſunt, ſint & talia, quia ſcilicet & ægrotantium & bene valentium ſcientia, bene vel male valens & ipſa ſit: bonorum item atque malorum, bona rurſus ac mala: ſed quoniam non illius ipſius cujus ſcientia eſt, evaſit ſcientia, imo talis cujuſdam, hoc autem eſt ſalubre & inſalubre, talis quædam ipſa quoque effecta eſt. Ex quo factum eſt, ut non amplius ſcientia ſimpliciter appelletur, ſed qualitate quadam addita, medicinaria ſcientia. Teneo jam, mihique hæc ita ſeſe habere videntur. Sitim vero, nonne his annumerabis, quæ id quod ſunt, alicujus exiſtunt? Eſt autem ſitis? Annumero equidem, & potionis ſitim eſſe dico. An non qualis cujuſdam poculi, qualis quædam ſitis? Ideoque ſitis ipſa, neque multi, neque pauci, neque boni, neque mali neque ut uno verbo complectar, qualis cujuſdam, ſed potionis ipſius ſolummodo, ſitis ipſa natura eſt? Sic eſt omnino. Sitientis igitur anima quatenus ſitit, non aliud appetit quam bibere, idque affectat, & ad ipſum fertur. Conſtat. Siquid ergo ipſam quandoque retrahit ſitientem, aliud quiddam erit in ipſa ab ea parte diverſum quæ ſitit, & quaſi beſtia quædam ab bibendum impellit. Neque enim fieri poſſe dicimus, ut idem aliquid eadem ſui

2 Οὐκοῦν] Legitur quoque εἴποτε τὶ καθέλκει αὐτήν.

parte

πράττοι. Οὐ γὰρ οὖν. Ὥσπέρ γε, οἶμαι, [1] τοῦ τοξότου οὐ καλῶς ἔχει λέγειν, ὅτι αὐτοῦ ἅμα αἱ χεῖρες τὸ τόξον ἀπωθοῦνταί τε καὶ προσέλκονται, ἀλλ' ὅτι ἄλλη μὲν ἡ ἀπωθοῦσα χεὶρ, ἑτέρα δὲ ἡ προσαγομένη. Παντάπασι μὲν οὖν, ἔφη. Πότερον δὲ δὴ φῶμεν τινὰς ἔστιν ὅτε διψῶντας οὐκ ἐθέλειν πιεῖν; Καὶ μάλα γ', ἔφη, πολλοὺς καὶ πολλάκις. [2] Τί οὖν (ἔφην ἐγὼ) φαίη τὶς ἂν τούτων πέρι; Οὐκ ἐνεῖναι μὲν ἐν τῇ ψυχῇ αὐτῶν τὸ κελεῦον, ἐνεῖναι δὲ τὸ κωλύον πιεῖν, ἄλλο ὂν καὶ κρατοῦν τοῦ κελεύοντος; Ἔμοιγε (ἔφη) δοκεῖ. Ἆρ' οὖν οὐ τὸ μὲν κωλύον τὰ τοιαῦτα ἐγγίνεται, ὅταν ἐγγένηται, ἐκ λογισμοῦ; τὰ δὲ ἄγοντα καὶ ἕλκοντα, διὰ παθημάτων τε καὶ νοσημάτων παραγίγνεται; Φαίνεται. Οὐ δὴ ἀλόγως (ἦν δ' ἐγὼ) ἀξιώσομεν αὐτὰ διττά τε καὶ ἕτερα ἀλλήλων εἶναι· τὸ μὲν ᾧ λογίζεται, λογιστικὸν προσαγορεύοντες τῆς ψυχῆς· τὸ δὲ ᾧ ἐρᾷ τε καὶ πεινῇ καὶ διψῇ, καὶ περὶ τὰς ἄλλας ἐπιθυμίας ἐπτόηται, ἀλόγιστόν τε καὶ ἐπιθυμητικὸν, πληρώσεων τινῶν καὶ ἡδονῶν ἑταῖρον. Οὔκ· ἀλλ' εἰκότως, ἔφη, ἡγοίμεθ' ἂν οὕτω. Ταῦτα μὲν τοίνυν (ἦν δ' ἐγὼ) δύο ἡμῖν ὡρίσθω εἴδη ἐν ψυχῇ ἐνόντα· τὸ δὲ τοῦ θυμοῦ, καὶ ᾧ θυμούμεθα, πότερον τρίτον; ἢ τούτων ποτέρῳ ἂν εἴη ὁμοφυές. Ἴσως (ἔφη) τῷ ἑτέρῳ τῷ ἐπιθυμητικῷ. Ἀλλ' (ἦν δ' ἐγὼ) ποτὲ ἀκούσας τὶ, πιστεύω τούτῳ· ὡς ἄρα Λεόντιος ὁ Ἀγλαΐωνος ἀνιὼν ἐκ Πειραιέως, ὑπὸ τὸ Βόρειον τεῖχος, ἐκτὸς αἰσθανόμενος νεκροὺς παρὰ τῷ δυμείῳ κειμένους, ἅμα μὲν ἰδεῖν ἐπιθυμοῖ, ἅμα δ' αὖ δυσχεραίνοι καὶ ἀποτρέποι ἑαυτόν· καὶ τέως μὲν μάχοιτό τε καὶ παρα-

1 Τοῦ τοξότου] Vide annon scribi debet περὶ τοῦ τοξότου, si non omnino supervacaneum erit subsequens αὐτοῦ. *Stephanus.*

2 Τί οὖν ἔφην ἐγὼ] Tres ani-

καλύ-

parte circa idem ſimul agat contraria. Non certe quemadmodum abſurdum dictu eſt, ejuſdem ſagittarii manus ſimul arcum propellere atque adducere atque contrahere. Porro dicendum eſt, alteram eſſe manum quæ propellit, alteram vero quæ adducit. Ita prorſus. Fatemurne eſſe aliquos, qui cum ſitiant, nonnunquam bibere nolint? Multos, ac ſæpe. Quid de iis aliquis dicet? nonne ineſſe in horum anima aliquid, quod ad bibendum allicit? aliquid contra quod prohibet? quod quidem & aliud eſt, & ei quod allicit, dominatur. Mihi quidem videtur. An non igitur quod prohibet iſta, ex ratione ineſt quoties operatur? Quæ vero concitant atque contrahunt, ex affectibus perturbationibuſque ſunt? Apparet. Merito igitur duo hæc inter ſe diverſa exiſtimabimus, & illud quidem quo ratiocinatur animus, rationale ipſius denominabimus. Illud vero quo amat, eſurit, & ſitit, & ad alias libidines pronior labitur, irrationale, & avidum repletionum quarundam & voluptatum comes. Diverſa profecto, inquit. Meritoque ita cenſebimus. Hæ itaque duæ jam in anima ſpecies, inquam ego, diſtinctæ ſint. Illud autem quod ad iram pertinet, quove iraſcimur, utrum tertium quiddam eſt? an alterius horum cognatum? Fortaſſe, inquit, ejus quod voluptates cupit, eſt cognatum. Atqui credo hoc equidem ex eo quod audivi quondam: quod videlicet cum *Leontius Aglaïonis* filius ex *Piræo* ſub *Boreali* muro (ad civitatem) aſcendens ſentiret extra cadavera in ſentina urbis & cloaca publica, jacentia, ſimul & videre cupiebat, & horrebat tamen, averſabaturque, vultum-

mi partes eſſe ſtatuit, *Rationalem, Concupiſcibilem, Iraſcibilem*, quarum Duæ, brutis cum hominibus habentur communes.

que

καλύπτοιτο· κρατύμενος δ' οὖν ὑπὸ τ ἐπιθυμίας, διελκύσας τὰς ὀφθαλμὰς, προσδραμὼν πρὸς τὰς νεκρὰς, ἰδὰ ὑμῖν, ἔφη, ὦ κακοδαίμονες, ἐμπλήσθητε τ καλοῦ θεάματος. Ἤκουσα (ἔφη) καὶ αὐτός. Οὗτος μὴντοι (ἔφω) ὁ λόγος σημαίνει τ ὀργὴν πολεμεῖν ἐνίοτε ταῖς ἐπιθυμίαις, ὡς ἄλλο ὂν ἄλλῳ. Σημαίνει γὰ, ἔφη. Οὐκοῦν καὶ ἄλλοθι (ἔφην) πολλαχοῦ αἰσθανόμεθα, ὅταν βιάζωνταί τινα παρὰ τ λογισμὸν ἐπιθυμίαι, λοιδορεῖσθά τε αὐτὸν καὶ θυμούμενον τᾷ βιαζομένῳ ἐν αὑτῷ; καὶ ὥσπερ δυοῖν στασιάζοντοιν ξύμμαχον τᾷ λόγῳ γιγνόμενον τ θυμὸν τοιοῦτο; ταῖς δ' ἐπιθυμίαις αὐτὸν κοινωνήσαντα αἰρεῖσθαι λόγου, μηδὲν ἄλλι πρᾶττειν; οἶμαι δέ σε οὐκ ἂν φάναι γενομένου παρὰ σεαυτῷ τοιοῦτο αἰσθέσθαι. οἶμαι δ' οὐδ' ἐν ἄλλῳ. Οὐ μὰ τ Δία, ἔφη. Τί δέ; (ἦν δ' ἐγὼ) ὅταν τις οἴηται ἀδικεῖν, οὐχ, ὅσῳ ἂν γενναιότερος ᾖ, τοσούτῳ ἧττον δυνατὸν ὀργίζεσθαι, καὶ πεινῶντα καὶ ῥιγῶντα, καὶ ἄλλα οἷα δὴ τοιούτων πάσχοντα ὑπ' ἐκείνου ὃν ἂν οἴηται δικαίως ταῦτα δρᾶν; καὶ ὃ λέγω, οὐκ ἐθέλει παρὰ τοῦτον αὐτοῦ ἐγείρεσθαι ὁ θυμός; Ἀληθῆ, ἔφη. Τί δέ; ὅταν ἀδικεῖσθαί τις ἡγῆται, οὐκ ἐν τούτῳ ζεῖ τε καὶ χαλεπαίνει καὶ ξυμμαχεῖ τᾷ δοκοῦντι δικαίῳ; καὶ διὰ τὸ πεινῆν, καὶ διὰ τὸ ῥιγοῦν, καὶ πάντα τὰ τοιαῦτα πάσχειν, καὶ νικᾷ, καὶ οὐ λήγει τ γενναίων, πρὶν ἂν ἢ λογισμὸς, ἢ τελευτήσῃ, ἢ ὥσπερ κύων ὑπὸ νομέως, ὑπὸ τοῦ λόγου τοῦ παρ' αὐτῷ ἀνακληθεὶς πραΰνθῃ; Πάνυ μὲν οὖν (ἔφη) ἔοικε τούτῳ ᾧ λέγεις· καίτοιγε ἐν τῇ ἡμετέρᾳ πόλει τοὺς ἐπικούρους, ὥσπερ κύνας, ἐθέμεθα ὑπηκόους τ ἀρχόντων, ὥσπερ ποιμένων πόλεως. Καλῶς γὰ (ἦν δ' ἐγὼ) νοεῖς ὃ βούλομαι λέγειν· ἀλλ' εἰ περὶ τούτῳ καὶ τόδε ἐνθυμῇ; Τὸ ποῖον; Ὅτι τοὐναντί

que tegebat, ſecum ipſe pugnans, cupiditate denique ſuperatus, ad cadavera intentis oculis accurrit, dicens: "Ecce jam vobis licet, ô infelices, deſiderium "veſtrum pulchro explere ſpectaculo. Audivi & ipſe, Itaque ſermo teſtatur, iram ſæpe pugnare adverſus concupiſcentiam, tanquam hæc inter ſe diverſa ſint. Id certe ſignificat. Nonne & alibi frequenter animadvertimus, quando vim inferunt alicui præter rationem cupiditates, objurgant ipſæ ſeſe, & adverſus eam ſui partem quæ vim infert indignantur. Et quaſi duobus diſſentientibus adjutricem rationi iram accurrere? Cupiditatibus vero conjunctam, nihil rationis voluntati contrarium moliri: nec te arbitror unquam aſſerere vel in te ipſo, vel alio tale quiddam deprehendiſſe. Nunquam per Jovem. Quid autem? inquam. Quando quis injuriam inferre ſe putat, nonne quo generoſior eſt, eo minus iraſcitur, dum eſurit & alget, & aliud quodvis tale patitur ab eo quem jure hæc agere cenſet? Et quod jam dixi, ira iſtius in eum quodammodo non excitatur? Vera loqueris. Quid autem? quando injuriam ſe pati quis putat, nonne tunc efferveſcit & ſævit, & auxilium præſtat ei quod juſtum videtur, famem, frigus, & cætera talia tolerans, & ad victoriam contendit, neque a generoſo opere ceſſat prius quam vel tranſegerit, vel obierit, vel tanquam canis a paſtore, ita denique revocatus ab ea quæ in ipſo eſt ratione miteſcat? Omnino hæc vis ei ſimilis eſt, cui tu comparas. Etenim in noſtra civitate auxiliarios ipſos tanquam canes poſuimus, obtemperantes principibus quaſi quibuſdam paſtoribus civitatis. Optime quod dicere volebam intellexiſti: Sed unum & hoc inſuper animadvertis? Quid iſtud? Quod in præſentia contra ac ſupra de

ναντίον ἢ ἀρτίως ἡμῖν φαίνεϑ' περὶ τὸ θυμοειδὲς· τότε μὲν γὰρ ὀπθυμητικόν τι αὐτὸ ὡμεθα εἶναι· νυνὶ δὲ πολλοῦ δεῖν φαμὲν, ἀλλὰ πολὺ μᾶλλον αὐτὸ ἐν τῇ τῆς ψυχῆς φάσῃ πίθεσθαι τὰ ὅπλα περὶ τὸ λογιστικόν. Παντάπασιν, ἔφη. Ἆρ' οὖν ἕτερον ὂν γε τυγχάνει; ἢ λογιστικόν τι εἶδος; ὥστε μὴ τρία ἀλλὰ δύο εἴδη εἶναι ἐν τῇ ψυχῇ, λογιστικὸν καὶ ὀπθυμητικόν; ἢ καθάπερ ἐν τῇ πόλει ξυνεῖχεν αὐτὰ τρία ὄντα γένη, χρηματιστικὸν, ἐπικουρικὸν, βουλευτικὸν, οὕτω καὶ ἐν ψυχῇ τρίτον τοῦτό ἐστι τὸ θυμοειδές, ἐπίκουρον τῷ λογιστικῷ φύσει, ἐὰν μὴ ὑπὸ κακῆς τροφῆς διαφθαρῇ Ἀνάγκη (ἔφη) τρίτον. Ναί· (ἦν δ' ἐγὼ) ἄν γε τὸ λογιστικοῦ ἄλλό τι φανῇ, ὥσπερ τοῦ ὀπθυμητικοῦ ἐφάνη, ἕτερον ὄν. Ἀλλ' οὐ χαλεπὸν (ἔφη) φανῆναι· καὶ γοῦν ἐν τοῖς παιδίοις τοῦτό γε ἄν τις ἴδοι, ὅτι θυμοῦ μὲν, εὐθὺς γενόμενα, μεστά ἐστι· λογισμοῦ δ' ἔνιοι μὲν ἔμοιγε δοκοῦσιν οὐδέποτε μεταλαμβάνειν, οἱ δὲ πολλοί, ὀψέ ποτε. Ναὶ μὰ Δί', ἦν δ' ἐγὼ, καλῶς γε εἶπες· ἔπι δὲ καὶ ἐν τοῖς θηρίοις ἄν τις ἴδοι ὃ λέγεις ὅτι οὕτως ἔχει· πρὸς δὲ τούτοις, καὶ ὃ ἄνω που ἐκεῖ εἴπομεν, τὸ τοῦ Ὁμήρου, μαρτυρήσει, τὸ,

Στῆθος δὲ πλήξας, κραδίῃ δὲ νέποτε μύθῳ.

ἐνταῦθα γὰρ δὴ σαφῶς ὡς ἕτερον ἑτέρῳ ἐπιπλῆττον πεποίηκεν Ὅμηρος, τὸ ἀναλογισάμενον περὶ τοῦ βελτίονός τε καὶ χείρονος, τῷ ἀλογίστῳ θυμῷ. Κομιδῇ (ἔφη) ὀρθῶς λέγεις. Ταῦτα μὲν ἄρα (ἦν δ' ἐγὼ) μόγις διανενεύκαμεν· καὶ ἡμῖν ἐπιεικῶς ὁμολογεῖται, τὰ αὐτὰ μὲν ἐν πόλει, τὰ αὐτὰ δ' ἐν ἑνὶ ἑκάστῳ τῇ ψυχῇ γένη ἐνεῖναι, καὶ ἴσα τὸ ἀριθμόν. Ἔστι ταῦτα. Οὐκοῦν ἐκεῖνό γε ἤδη ἀναγκαῖον, ὡς πόλις μὲν σοφὴ, ᾗ καὶ οὕτω καὶ τῷ ἰδιώτῃ καὶ τῷ τότε σοφὸν εἶ-

iracundia judicamus. Tunc non iraſcendi vim ad concupiſcendi naturam referebamus. Nunc vero multum intereſſe dicimus, ac multo magis iram aſſerimus animæ partibus inter ſe diſſidentibus pro ratione arma capeſſere. Ita prorſus. Nunquid & iraſcendi vis eſt a ratione diverſa, vel quædam ſpecies rationis, adeo ut non tres in animo, ſed duæ ſpecies ſint, rationale & concupiſcens? Aut potius quemadmodum in civitate tria quædam genera ipſam continebant, quæſtuarium, auxiliarium, conſulatus, ita & in anima tertia quædam vis eſt nimirum iracundia, quæ natura ipſa rationis tutatur partes, niſi ex improba educatione fuerit depravata? Neceſſe eſt ut tertia, ſit. Nempe etiam ſi alia quam ratio apparuerit, quemadmodum ſupra viſa eſt, a concupiſcentia differens. At vero facile id quidem patere poteſt. Nam in puerulis quivis iſtud intelligat, qui ſtatim nati iracundia pleni ſunt. Rationis autem aliqui nunquam, multi ſero compotes fieri mihi videntur. Per Jovem inquam, præclare loqueris. Præterea in beſtiis ita eſſe quiſque, ut ipſe dicis, comperiet. Teſtatur & iſtud Homeri, illud quod ſupra induximus,

Pectora percutiens monitis affatur acerbis.

Hic enim aperte Homerus, alterum horum objurgare alterum fecit, ipſam videlicet rationem de meliori pejorique conſultantem, irrationalem iracundiæ impetum. Recte admodum loqueris. In his itaque vix tandem conſenſimus, ſatiſque inter nos conſtitit, eadem in civitate, eadem & in cujuſque anima genera eſſe ac numero paria. Sic certe. Quin etiam hoc neceſſarium eſt, quemadmodum & quo ſapiens erat civitas, ita & eodem ſapientem eſſe privatum?

1 Καὶ ᾧ ἅτῳ] Pro ἅτῳ ſcribendum puto αὐτῇ vel αὐτῇ: (ſed ἅτῳ vicinius eſt illi αὐτῇ) & ante τούτῳ expungendam particulam ϵ: ut ita legatur: καὶ ᾧ αὐτῇ καὶ τὴν ἰδιώτην, τούτῳ σο-

εἶναι. Τί μήν; Καὶ ὦ δὴ ἀνδρεῖος ἰδιώτης, καὶ ὡς, τούτῳ καὶ πόλιν ἀνδρείαν· καὶ οὕτω καὶ τἆλλα πάντα πρὸς ἀρετὴν ὡσαύτως ἀμφότερα ἔχειν. Ἀνάγκη. Καὶ δίκαιον δή, ὦ Γλαύκων, οἶμαι, φήσομεν ἄνδρα εἶναι τῷ αὐτῷ τρόπῳ ᾧπερ καὶ πόλιν ἦν δικαία. Καὶ τοῦτο πᾶσα ἀνάγκη. Ἀλλ' οὔ πω μοὶ τοῦτο ἐπιλελήσμεθα, ὅτι ἐκείνη γε τῷ τὸ ἑαυτοῦ ἦκαστον ἐν αὐτῇ πράττειν, τριῶν ὄντων γενῶν, δικαία ἦν. Οὔ μοι δοκοῦμεν, ἔφη, ἐπιλελῆσθαι. Μνημονευτέον ἄρα ἡμῖν ὅτι καὶ ἡμῶν ἕκαστος, ὅταν τὰ αὑτοῦ ἐν αὑτῷ πράττῃ, δίκαιός τε ἔσται καὶ τὰ αὑτοῦ πράττων. Καὶ μάλα (ἦ δ' ὅς) μνημονευτέον. Οὐκοῦν τῷ μὲν λογιστικῷ ἄρχειν πρέπει, σοφῷ ὄντι, καὶ ἔχοντι τὴν ὑπὲρ ἁπάσης τῆς ψυχῆς προμήθειαν; τῷ δὲ θυμοειδεῖ, ὑπηκόῳ εἶναι, καὶ συμμάχῳ τούτου; Πάνυ γε. Ἆρ' οὖν οὐχ, ὥσπερ ἐλέγομεν, μουσικῆς καὶ γυμναστικῆς κρᾶσις σύμφωνα αὐτὰ ποιήσει, τὸ μὲν ἐπιτείνουσα καὶ τρέφουσα λόγοις τε καλοῖς καὶ μαθήμασι, τὸ δὲ ἀνιεῖσα, παραμυθουμένη καὶ ἡμεροῦσα ἁρμονίᾳ τε καὶ ῥυθμῷ; Κομιδῇ γε, ἦ δ' ὅς. Καὶ τούτω δὴ ὄντε τραφέντε, καὶ ὡς ἀληθῶς τὰ αὑτῶν μαθόντε καὶ παιδευθέντε, προστήσεται τοῦ ἐπιθυμητικοῦ, ὃ δὴ πλεῖστον τῆς ψυχῆς ἐν ἑκάστῳ ἐστὶ, καὶ χρημάτων φύσει ἀπληστότατον· ὃ τηρήσετον, μὴ τῷ πίμπλασθαι τῶν λεγομένων σωματικῶν ἡδονῶν, πολὺ καὶ ἰσχυρὸν γενόμενον, ἃ τὰ αὑτοῦ πράττῃ, ἀλλὰ καταδουλώσασθαι καὶ ἄρχειν ἐπιχειρήσῃ ὧν οὐ προσῆκον αὐτῷ γε ἦ, καὶ ξύμπαντα τὸν βίον πάντων ἀνατρέψῃ. Πάνυ μὲν οὖν, ἔφη. Ἆρ' οὖν (ἦν δ' ἐγὼ) καὶ τοὺς ἔξωθεν πολεμίους τούτῳ ἂν κάλλιστα φυλάττοι, τῷ ὑπὲρ ἁπάσης τῆς ψυχῆς τε καὶ τοῦ σώματος, τὸ μὲν βουλευόμενον, τὸ δὲ, πολε-

φὸν εἶναι. Intellige autem καὶ ὃ αὐτὸ ἦν σοφὸν, alioqui cum εἶναι μὲν,

Plane. Item quo fortis eſt privatus aliquis & quomodo, eodem & ita fortem eſſe civitatem, & in cæteris omnibus ad virtutem utraque ſimiliter ſe habere. Neceſſe eſt. Atqui & juſtum, ô Glauco, virum dicemus eadem ratione, qua dicimus civitatem. Neceſſarium id omnino. At nondum illud obliti ſumus, quod civitas ex eo juſta viſa eſt, quia cum tria in ea ſint hominum genera, ſuum quiſque explet officium. Haud certe mihi obliti videmur. Meminiſſe ergo oportet quod quiſque noſtrum, cujus ſingulæ animæ partes quod ſuum eſt agunt, & juſtus erit & ſua peragens. Meminiſſe prorſus. Nonne rationali potentiæ convenit imperare, cum ſapiens ſit, geratque totius animæ providentiam? Iraſcendi vero naturæ obſequi rationi, proque illa pugnare? Pen itus. Nonne ut ſupra tractavimus, muſicæ & gymnaſticæ mixtio atqne temperantia ut concordia iſta ſint, efficit? Unum quidem horum intendens augenſque & nutriens præclaris ſermonibus & diſciplinis: alterum vero remittens, ſedans, manſuefaciens per harmoniam atque rythmum? Maxime. Cumque ita nutrita hæc fuerint, & quæ ſua ſunt, revera didicerint, & optime fuerint erudita, ardori concupiſcentiæ præſidebunt: quæ pars animæ in omnibus eſt plurima, neque unquam natura pecuniis expleri poteſt: cavebuntque ne corporalium voluptatum expletione adaucta grandior robuſtiorque evadat, nolitque ſuo duntaxat officio fungi, ſed ſubjicere ſibi illa contendat, quibus imperare natura non debet, atque ita univerſam omnium vitam pervertat. Sic prorſus. Quinetiam ab externis hoſtibus hæc animam omnem corpuſque cuſtodit, dum illud quidem provide conſulit, hoc autem pro-

accuſativo eſſet opus.

μῶν, ἑπόμενον ἢ τῷ ἄρχοντι καὶ τῇ ἀνδρείᾳ ἐπιτελοῦν τὰ βουλευθέντα. Ἔστι ταῦτα. Καὶ ἀνδρεῖον δή, οἶμαι, τούτῳ τῷ μέρει καλοῦμεν ἕνα ἕκαστον, ὅταν αὐτοῦ τὸ θυμοειδὲς διασώζῃ διά τε λυπῶν καὶ ἡδονῶν τὸ ὑπὸ τοῦ λόγου παραγγελθὲν δεινόν τε καὶ μή. Ὀρθῶς γ', ἔφη. Σοφὸν δέ γε ἐκείνῳ τῷ σμικρῷ μέρει τῷ ὃ ἦρχέ τ' ἐν αὐτῷ, καὶ ταῦτα παρήγγελλεν· ἔχον αὖ καὶ ἐκεῖνο ἐπιστήμην ἐν αὐτῷ τινὶ τῶν ξυμφέροντος ἑκάστῳ τε καὶ ὅλῳ τῷ κοινῷ σφῶν αὐτῶν τριῶν ὄντων. Πάνυ μὲν οὖν. Τί δέ; σώφρονα ἀ τῇ Φιλίᾳ καὶ ξυμφωνίᾳ τῇ αὐτῶν τύπων; Ὅταν τό, τε ἄρχον καὶ [1]τῷ ἀρχομένῳ ὁμοδοξῶσιν, ὡς δεῖν ἄρχειν τὸ λογιστικόν, καὶ μὴ στασιάζωσιν αὐτῷ; Σωφροσύνη γοῦν (ἦ δ' ὅς) ὃν ἄλλο τι ἐστὶν ἢ τοῦτο, πόλεως τε καὶ ἰδιώτου. Ἀλλὰ μὲν δὴ δίκαιός γε, ὡς πολλάκις λέγομεν, τύτῳ καὶ οὕτως ἔσται. Πολλὴ ἀνάγκη. Τί οὖν; (εἶπον ἐγὼ) μή πη ἡμῖν ἀπαμβλύνει ἄλλο τι δικαιοσύνη δεῖ εἶναι, ἢ ὅπερ ἐν τῇ πόλει ἐφάνη; Οὐκ ἔμοιγε (ἔφη) δοκεῖ. Ὧδε γὰρ (ἦν δ' ἐγὼ) πανάπασιν ἂν βεβαιωσαίμεθα εἴ τι ἡμῶν ἔτι ἐν τῇ ψυχῇ ἀμφισβητεῖ, τὰ φορτικὰ αὐτῷ παρασφέροντες. Ποῖα δή; Οἷον, εἰ δέοι ἡμᾶς ἀνομολογεῖσθαι περί τε ἐκείνης τῆς πόλεως καὶ τοῦ ἐκείνῃ ὁμοίως πεφυκότος τε καὶ τεθραμμένου ἀνδρὸς, εἰ δοκεῖ ἂν παρακαταθήκην χρυσίου ἢ ἀργυρίου δεξάμενος ὁ τοιοῦτος ἀποστερῆσαι, πὶν ἂν οἴεται οἰηθῆναι τοῦτο αὐτὸν δρᾶσαι μᾶλλον ἢ ὅσοι μὴ τοιοῦτοι; Οὐδέν' ἂν, ἔφη. Οὐκοῦν καὶ ἱεροσυλιῶν, καὶ κλοπῶν, καὶ προδοσιῶν, ἢ ἰδίᾳ ἑταίρων, ἢ δημοσίᾳ πόλεων, ἐκτὸς ἂν οὗτος εἴη; Ἐκτός. Καὶ μὴν δὴ,

1 τῷ ἀρχομένῳ] Lege τὸ ἀρχόμενον.

ὁπω-

pugnat, obtemperat principi, fortitudine quæ conſulta ſunt, peragit. Vera hæc ſunt. Fortem profecto hac ex parte virum quenque vocamus, quando in ipſo iracundiæ vigor obſervat in mediis voluptatibus & doloribus, id quod ratio præſcripſit, ſive aſperum id ſit, ſive non ſit. Probe. Sapientem vero brevi illa ex parte quæ & imperavit in ipſo, & iſta dictavit, habens in ſeipſa ſcientiam qua diſcernit quid potiſſimum ex uſu ſit tam ſingulis quam univerſo ex his tribus cœtui conſtituto. Certe. Temperantem rurſus aliquem appellamus horum ipſorum amicitia atque concordia, quando & quod præſidet, & quod ſubeſt, in ſententiam eandem conveniunt, rationem ſcilicet imperare debere, neque ab illa deſciſcendum eſſe. Temperantia igitur, inquit, nihil eſt aliud ſive illa civitatis ſit ſive privati. Juſtus denique ex eo atque ita erit quiſque, ex quo ſæpe jam diximus, & quemadmodum expoſuimus. Neceſſe eſt, inquit, prorſus. Quid porro? inquam. Eſtne aliquid quod hanc noſtram uſqueadeo ſententiam interturbet, ut aliud videatur eſſe nobis juſtitia, quam quod in civitate conſtitit? Mihi quidem non videtur, inquit. Sic enim inquam, omnino, ſiquid adhuc inter nos in controverſia ſit, diſceptabimus, ea quæ contra dici poſſe videantur proponentes. Qualia? Veluti ſi in hoc deliberare nos oportuerit de civitate illa, deque homine eodem pacto cum illa nato atque nutrito, nunquid vir talis quum depoſitum auri vel argenti acceperit, videatur quandoque fraudem excogitaturus: cenſes aliquem judicaturum ejuſcemodi virum fraudē commiſſurum potius, quam ſecus affectos homines? Neminem prorſus. An non a ſacrilegiis hic, furtis, proditionibus tam privatim adverſus ſodales quam publice adverſus rempublicam abſtinebit? Sane. Atqui neque

2 Δικαιοσύνη δή] Legendum puto δικαιοσύνην δή. *Stephan.*

ὁπωςιοῦν ἄπιςος ἢ κτ᾽ τοὺς ὅρκους ἢ κτ᾽ τὰς ἄλλας ὁμολογίας. Πῶς γὰρ ἄν; Μοιχεῖαι μὴν, καὶ γονέων ἀμέλειαι, καὶ θεῶν ἀθεραπευσίαι παντὶ ἄλλῳ μᾶλλον ἢ τῷ τοιούτῳ προσήκουσι. Παντὶ μέντοι, ἔφη. Οὐκοῦν τούτων πάντων αἴτιον, ὅτι αὐτὸ τῶν ἐν αὑτῷ ἕκαςον τὰ αὑτοῦ πράττει ἀρχῆς πε πέρι καὶ οὗ ἄρχεσθαι; Τοῦτο μὲν οὖν, καὶ οὐδὲν ἄλλό τι. Τί οὖν; ἕτερον ζητεῖς δικαιοσύνην εἶναι, ἢ ταύτην τὴν δύναμιν ἢ τοὺς τοιούτους ἄνδρας τε παρέχεται καὶ πόλεις; Μὰ Δία (ἦ δ᾽ ὅς) οὐκ ἔγωγε. [1] Τέλεον ἄρα ἡμῖν τὸ ἐνύπνιον ἀποτετέλεσται ὃ ἔφαμεν ὑποπτεῦσαι· ὡς εὐθὺς ἀρχόμενοι τῆς πόλεως οἰκίζειν, κτ᾽ θεόν τινα εἰς ἀρχὴν καὶ τύπον τῆς δικαιοσύνης κινδυνεύομεν ἐμβεβηκέναι. Παντάπασι μὲν οὖν. Τὸ δὲ ἦν ἄρα, ὦ Γλαύκων, δι᾽ ὃ καὶ ὠφελεῖ, εἴδωλόν τι τῆς δικαιοσύνης, τὸ, τὸν μὲν σκυτοτομικὸν φύσει, ὀρθῶς ἔχειν σκυτοτομεῖν, καὶ ἄλλο μηδὲν πράττειν· τὸν δὲ τεκτονικὸν, τεκταίνεσθαι· καὶ τἄλλα δὴ οὕτω. Φαίνεται. Τὸ δέ γε ἀληθὲς, τοιοῦτον μέν τι ἦν, ὡς ἔοικεν, ἡ δικαιοσύνη ἀλλ᾽ οὐ περὶ τὴν ἔξω πράξιν τῶν αὑτοῦ, ἀλλὰ περὶ τὴν ἐντὸς ὡς ἀληθῶς, περὶ ἑαυτὸν καὶ τὰ ἑαυτοῦ, μὴ ἐάσαντα τὰ ἀλλότρια πράττειν ἕκαςον ἐν αὑτῷ, μηδὲ πολυπραγμονεῖν πρὸς ἄλληλα τὰ ἐν τῇ ψυχῇ γένη· ἀλλὰ τῷ ὄντι τὰ οἰκεῖα εὖ θέμενον, καὶ ἄρξαντα αὐτὸν αὑτοῦ, καὶ κοσμήσαντα, καὶ φίλον γενόμενον ἑαυτῷ, καὶ ξυναρμόσαντα τρία ὄντα, ὥσπερ

1 Τέλεον ἄρα ἡμῖν] Conclusio superioris disputationis ad hunc usque locum. Quid sit *Justitia?* quid *Injustitia?* *Justitiam* nimirum in hominibus esse illam ξυμφωνίαν atque ξυμμετρίαν *virtutum*, quum omnes affectiones atque Cupiditates *Rationi* ac *Virtuti* obtemperant: unusquisque rebus alienis prætermissis, proprio ita versatur ut decet, negotio, & omnia vitæ officia sapienter & constanter obit. Hæc est *Ju-*

ὅρους

perfidus vel jurejurando, vel quibuſcunque commerciis. Nullo pacto. Adulteria quidem, parentum contemptus, impietas in Deos, cuilibet alteri potius quam huic conveniunt. Ita prorſus. Nonne horum omnium cauſa hæc eſt, quia quicquid in ipſo eſt, ſuum opus exequitur, ſive imperando, ſive parendo. Nulla certe alia. Quid? quæris aliud eſſe juſtitiam quam hanc ipſam vim, quæ tales viros, & tales efficit civitates? Ego quidem, inquit, minime. Tandem nobis abſolutum ſomnium illud eſt, quod nos conjeciſſe diximus: nempe quod mox incipientes condere civitatem, Deo quodam favente, in aliquod principium imaginemque juſtitiæ ingreſſi videmur. Omnino quidem. Hoc autem erat, ô Glauco, propter quod confert quoddam juſtitiæ ſimulacrum. Nempe debere qui natura coriarius eſt, artem hanc exequi, aliud nihil facere, qui vero faber, fabricare. Similiterque in cæteris. Apparet. Revera quidem talis juſtitia eſt, ſed non circa actionem exteriorem, imo circa interiorem ſuarum partium actionem vere ad ipſummet animum, & ad ſua: dum nihil permittit ex ſuis aliena tentare, neque ſinit animæ genera opera ſeſe mutuo confundentia tractare: ſed revera propria recte digerit, ſuique eſt dominus, ſeſe exornat, amicus ſibi ipſe effectus, in ſe tria ipſa contemperans tanquam tres terminos

ſtitiæ vis in ſingulis hominibus. In *Republica* autem eſt *Ordo rectus moderati Imperii, conſenſus Regentis & ſubditorum*, quum ſuas partes unuſquiſque & novit & facit. Porro, præclara illa *Muſices* (quam in omnes harmoniarum ſpecies diſtribuit) imagine, ſignificat vim illam *Juſtitiæ* in omnes omnium ordinum homines ſe effundere ſuo quodam modo.

harmo-

ὄρθης τρεῖς ἁρμονίας ἀτεχνῶς, νεάτης τε καὶ ὑπάτης καὶ μέσης. καὶ εἰ ἄλλα ἄττα μεταξὺ τυγχάνει ὄντα, πάντα ταῦτα ξυνδήσαντα καὶ πανταπασιν ἕνα γενόμενον ἐκ πολλῶν σωφρονα καὶ ἡρμοσμένον, οὕτω δὴ πράττειν ἤδη, ἐάν τι πράττῃ, ἢ περὶ χρημάτων κτῆσιν, ἢ περὶ σώματος θεραπείαν, ἢ καὶ περὶ πολιτικόν τι, ἢ περὶ τὰ ἰδια συμβόλαια· ἐν πᾶσι τούτοις ἡγεῖσθαι μὲν καὶ ὀνομάζειν δικαίαν μὲν καὶ καλὴν πρᾶξιν, ἣ ἂν ταύτην τ' ἔξιν σώζῃ τε καὶ συναπεργάζηται· σοφίαν δὲ, τ' ἐπιστατοῦσαν ταύτῃ τῇ πράξει ἐπιστήμην· ἄδικον δὲ πρᾶξιν, ἣ ἂν ἀεὶ ταύτην λύῃ· ἀμαθίαν δὲ, τ' ταύτῃ ἐναντίαν ἐπιστατοῦσαν δόξαν. Παντάπασιν (ἦ δ' ὅς) ὦ Σώκρατες, ἀληθῆ λέγεις. Εἶεν (ἦν δ' ἐγὼ) τ' μὲν δίκαιον καὶ ἄνδρα καὶ πόλιν, καὶ δικαιοσύνην, ὃ τυγχάνει ἐν αὐτοῖς ὂν εἰ φαίμεν εὑρηκέναι, οὐκ ἂν πάνυ τι οἶμαι δόξαιμεν ψεύδεσθαι. Μὰ Δία γε μέντοι, ἔφη. Φῶμεν ἆρα; Φῶμεν. Ἐγὼ δὴ, ἦν δ' ἐγὼ· μέν γε τοῦτο σκεπτέον οἶμαι ἀδικίαν· Δηλονότι. Οὐκοῦν φάσιν τινὰ αὖ τριῶν ὄντων τούτων δεῖ αὐτὴν εἶναι, καὶ πολυπραγμοσύνην καὶ ἀλλοτριοπραγμοσύνην, καὶ ἐπανάστασιν μέρους τινὸς τῷ ὅλῳ τῆς ψυχῆς, ἵν' ἀρχὴ ἐν αὐτῇ, γε προσῆκον, ἀλλὰ τοιούτου ὄντος φύσει οἷον ἄρχειν αὐτῷ δουλεύειν τῷ τοῦ βελτίονος γένους ὄντι· τοιαῦτ' ἄττα (οἶμαι) φήσομεν καὶ τινὰ τούτων ταραχὴν καὶ πλάνην εἶναι. τήν τε ἀδικίαν, καὶ ἀκολασίαν, καὶ δειλίαν, καὶ ἀμαθίαν, καὶ συλλήβδην πᾶσαν κακίαν. Ταῦτα μὲν οὖν ταύτην, ἔφη. Οὐκοῦν (ἦν δ' ἐγὼ) καὶ τὸ ἄδικα πράττειν καὶ τὸ ἀδικεῖν, καὶ αὖ τὸ δίκαια ποιεῖν, ταῦτα πάντα τυγ-

1 Ἂν ἐπιστατοῦσαν δόξαν] *Platonem* scripsisse puto ἀνεπιστατοῦσαν, nullum enim hic usum habere potest vocula ἄν· eoque magis audacter ex ἄν & ἐπιστατοῦσαν faciendum esse

χάνῃ

harmoniæ, imæ, ſummæ, & mediæ, ſeu quævis alia media fuerit. Itaque hæc omnia nectens, ipſeque prorſus unus effectus ex multis temperans atque compoſitus, ita demum agit ſiquid agit, vel circa pecunias acquirendas vel corporis cultum, vel etiam circa civilia, aut privata commercia, in his omnibus actionem illam juſtam & præclaram exiſtimans, & appellans, quæ habitum hunc peragit atque ſervat. Sapientiam vero operationi huic præſidentem, ſcientiam: injuſtam autem operationem quæ hanc diſſolvit: inſipientiam autem operationis hujus ducem, opinionem. Vera prorſus, ô Socrates, loqueris. Si ergo nos inveniſſe dixerimus juſtum virum, & civitatem juſtam, quidve in utriuſque juſtitia ſit, haud multum, ut arbitror, mentiri videbimur. Non per Jovem. Aſſerendum igitur? Proculdubio. Eſto itaque. Enimvero deinceps de injuſtitia conſiderandum videtur. Plane. Seditionem quandam horum trium injuſtitiam appellare decet, curioſamque & variam alieni operis uſurpationem, & inſolentem partis cujuſdam prævaricationem adverſus totam animam rebellantis, inſurgentiſque ad imperandum regio animi generi, cui ſervire eam natura jubet. Talia quædam, ut arbitror, atque horum turbationem erroremque, injuſtitiam eſſe dicemus, & intemperantiam, ignaviam, inſipientiam, & univerſam denique pravitatem. Hæc prorſus ita ſe habent. Nonne ſatis jam perſpicue patet, quid eſt injuſta facere & injuriam inferre, ac rurſus quid agere juſta quandoquidem

unum vocabulum dico: ſimul etiam reſpiciens ad ἐπιστατοῦσαν, quod proxime præceſſit; ut quemadmodum σοφίαν dixit τὴν ἐπιστατοῦσαν ταύτῃ τῇ πράξει ἐπιστήμην· ita ἀπαθίαν (quæ σοφία eſt contraria) dicat τὴν ταύτῃ ἀνεπιστατοῦσαν δόξαν.

ju-

χάνει ὄντα κατάδηλα ἤδη σαφῶς, εἴπερ καὶ ἀδικία τε καὶ δικαιοσύνη; Πῶς δή; Ὅτι (ἦν δ' ἐγὼ) τυγχάνει οὐδὲν διαφέροντα τῶν ὑγιεινῶν τε καὶ νοσωδῶν, ὡς ἐκεῖνα ἐν σώματι, ταῦτα ἐν ψυχῇ. Πῇ; ἔφη. Τὰ μὲν που ὑγιεινὰ, ὑγίειαν ἐμποιεῖν· τὰ δὲ νοσώδη, νόσον. Ναί. Οὐκοῦν καὶ τὸ μὲν δίκαια πράττειν, δικαιοσύνην ἐμποεῖ· τὸ δ' ἄδικα, ἀδικίαν. Ἀνάγκη. Ἔστι δὲ τὸ μὲν ὑγίειαν ποιεῖν, τὰ ἐν τῷ σώματι κατὰ φύσιν καθιστάναι· κρατεῖν τε καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων τὸ δὲ νόσον, παρὰ φύσιν ἄρχειν τε καὶ ἄρχεσθαι ἄλλο ὑπ' ἄλλου. Ἔστι γάρ. Οὐκοῦν αὖ (ἔφην) τὸ δικαιοσύνην ἐμποιεῖν, τὰ ἐν τῇ ψυχῇ κατὰ φύσιν καθιστάναι, κρατεῖν τε καὶ κρατεῖσθαι ὑπ' ἀλλήλων· τὸ δὲ ἀδικίαν, παρὰ φύσιν ἄρχειν τε καὶ ἄρχεσθαι ἄλλο ὑπ' ἄλλου. Κομιδῇ, ἔφη. Ἀρετὴ μὲν ἄρα, ὡς ἔοικεν, ὑγίειά τέ τις ἂν εἴη καὶ κάλλος καὶ εὐεξία ψυχῆς· κακία δὲ, νόσος τε καὶ αἶσχος καὶ ἀσθένεια. Ἔστιν οὕτως. Ἄρ οὖν οὐ καὶ τὰ μὲν καλὰ ἐπιτηδεύματα εἰς ἀρετῆς κτῆσιν φέρει, τὰ δ' αἰσχρὰ, εἰς κακίας; Ἀνάγκη. Τὸ δὴ λοιπὸν ἤδη, ὡς ἔοικεν, ἡμῖν ἐστι σκέψασθαι, πότερον αὖ λυσιτελεῖ δίκαιά τε πράττειν, καὶ καλὰ ἐπιτηδεύειν, καὶ εἶναι δίκαιον ἐάν τε λανθάνῃ, ἐάν τε μὴ, τοιοῦτος ὤν· ἢ ἀδικεῖν τε καὶ ἄδικον εἶναι, ἐάν περ μὴ διδῷ δίκην, μηδὲ βελτίων γίγνηται, κολαζόμενος. Ἀλλ', ἔφη, ὦ Σώκρατες, γελοῖον ἔμοιγε φαίνεται τὸ σκέμμα γίγνεσθαι ἤδη, εἰ τοῦ μὲν σώματος τῆς φύσεως διαφθειρομένης, δοκεῖ οὐ βιωτὸν εἶναι, οὐδὲ μετὰ πάντων σιτίων τε καὶ ποτῶν, καὶ παντὸς πλούτου καὶ πάσης ἀρχῆς· τῆς δὲ αὐτοῦ τούτου ᾧ ζῶμεν φύσεως ταραττομένης καὶ διαφθειρομένης, βιωτὸν ἄρα ἔσται· ἐάν πέρ τις ποιῇ ὃ ἂν βουληθῇ, ἄλλο πλὴν τοῦτο ὁπόθεν κακίας μὲν καὶ ἀδικίας ἀπαλλαγήσεται,

juſtitia & injuſtitia patent. Quonam pacto? Quia nihil a ſalubribus differunt. Nempe ut hæc circa corpus, ſic circa animum ſe habent & illa. Qua ratione? Salubria quidem ſanitatem inducunt, inſalubria morbum. Plane. Similiter quoque juſta agere, juſtitiam gignit in animo: injuſta facere, injuſtitiam. Neceſſe eſt. Eſt autem ſanitatem inferre, ita quæ in corpore ſunt diſponere, ut ſecundum naturæ ipſius ordinem inter ſe ſuperentur & ſuperent. Morbum autem contra naturam imperare aliud alii & parere. Eſt ita. Eadem ratione juſtitiam præſtare cuiquam, nihil eſt aliud quam animi partes in ordinem ſuum digerere, ut ad naturæ normam pareant atque imperent. Injuſtitiam vero ut contra naturam aliud alii imperet atque pareat. Prorſus. Virtus igitur, ut apparet, ſanitas quædam eſt, & pulchritudo, & bona animi conſtitutio. Pravitas contra morbus, turpitudo & imbecillitas. Eſt ut dicis. Nonne igitur exercitationes honeſtæ ad virtutem acquirendam conducunt, turpes ad pravitatem? Neceſſe eſt. Reſtat ut videtur, diſcutiendum, nunquid proſit agere juſta, honeſta colere, eſſe juſtum, ſive occultum id ſit, ſive non: An injuriam inferre & injuſtum eſſe, ſi modo non det pœnas, neque fiat caſtigatione melior. Mihi quidem, ô Socrates, riducula diſceptatio iſta fore videtur. Siquidem corporis natura corrupta, videtur non eſſe vivendum, neque etiam in ſumma epularum & poculorum omnium affluentia, cunctis divitiis, & totius orbis imperio. Natura vero ejus quo vivimus, perturbata atque corrupta, num vivendum erit, ſi quis quodcunque lubet, aliud agat quam hoc unum, unde ab improbitate iniquitateque liberetur, juſtitiam vero

γησεῖαι, δικαιοσύνην ἢ καὶ ἀρετὴν κλήσεῖαι· ἐπειδὴ γὰρ ἐφάνη γε ὄντα ἑκάτερα οἷα ἡμεῖς διεληλύθαμεν. Γελοῖον γὰρ, ἦν δ' ἐγὼ· ἀλλ' ὅμως ἐπείπερ ἐνταῦθα ἐληλύθαμεν ὅσον οἷόν τε σαφέστατα κατιδεῖν ὅτι ταῦτα οὕτως ἔχει, μὴ ἀποκάμνειν. Ἧκιστα, νὴ τὸν Δία, (ἔφη) πάντων ἀποκνητέον. Δεῦρο δὴ (ἦν δ' ἐγὼ) ἵνα καὶ ἴδῃς ὅσα καὶ εἴδη ἔχει ἡ κακία, ὡς ἐμοὶ δοκεῖ, ἄγε δὴ καὶ ἄξια θέας. Ἕπομαι, ἔφη· μόνον λέγε. Καὶ μὴν, ἦν δ' ἐγὼ, ὥσπερ ἀπὸ σκοπιᾶς μοι φαίνεῖ), ἐπειδήπερ ἐνταῦθα ἀναβεβήκαμεν τῷ λόγῳ, ἓν μὲν εἶναι εἶδος τὸ ἀρετῆς, ἄπειρα δὲ τὰ κακίας· τέτταρα δ' ἐν αὐτοῖς ἄττα ὧν καὶ ἄξιον ὀπτμνηθῆναι. Πῶς λέγεις; ἔφη. Ὅσοι (ἦν δ' ἐγὼ) πολιτειῶν τρόποι εἰσὶν εἴδη ἔχοντες, τοσοῦτοι κινδυνεύουσι καὶ ψυχῆς τρόποι εἶναι· Πόσοι δή; Πέντε μὲν (ἦν δ' ἐγὼ) πολιτειῶν, πέντε δὲ, ψυχῆς. Λέγε, ἔφη, τίνες. Λέγω, εἶπον, ὅτι εἷς μὲν ὅδε ἂν ἡμεῖς διεληλύθαμεν, πολιτείας εἴη ἂν τρόπος· ἐπονομασθείη δ' ἂν καὶ διχῇ· ἐγγενομένου μὲν γὰρ ἀνδρὸς ἑνὸς ἐν τοῖς ἄρχουσι διαφέροντος, βασιλεία ἂν κληθείη· πλειόνων δὲ, ἀριστοκρατία. Ἀληθῆ, ἔφη. Τοῦτο μὲν τοίνυν (ἦν δ' ἐγὼ) ἓν εἶδος λέγω· οὔτε γὰρ ἂν πλείους οὔτε εἷς ἐγγενόμενος κινήσειεν ἂν τἄλλα τῶν νόμων τῆς πόλεως, τροφῇ τε καὶ παιδείᾳ χρησάμενος ἣν διήλθομεν. Οὐ γὰρ εἰκὸς, ἔφη.

ΠΛΑ-

ro & probitatem adipiſcatur, poſtquam talia hæc utraque qualia narravimus, apparuerunt. Ridicula profecto, inquam. Verum poſteaquam eo devenimus, ut quam apertiſſime fieri poteſt, quod hæc ita ſe habent, perſpiciamus, minime ſenes eſſe nos oportet. Per Jovem minime omnium. Age igitur inquam ego, huc accede, ut videas quot ſpecies vitium habet, ut mihi videtur. Attende nunc.. Nempe hæc digna ſpectatu. Sequor equidem, dicas modo. Atqui tanquam e ſpecula, poſtquam huc ratiocinando conſcendimus, una mihi ſpecies virtutis occurrit pravitatis innumeræ. Ex quibus quatuor quædam ſunt quorum meminiſſe oportet. Quomodo iſtud ais? Quot ſane rerumpub. modi ſunt ſpecies ſuas habentes, totidem eſſe & animæ ipſius apparent. Quot? Quinque rerumpub. quinque rurſus & animæ. Dic quinam. Unum aliquem reipub. modum eſſe hunc aſſero, quem expoſuimus. Duabus vero appellationibus nominari poteſt. Nam ſi inter principes civitatis unus quidam ſit omnium præſtantiſſimus, regnum vocabitur. Sin autem plures, gubernatio optimatum. Vera narras. Hanc unam ideo ſpeciem eſſe dico, quia ſive plures gubernent, ſive unus, nullus qui ita, ut diximus, educatus & eruditus fuerit, quicquam exiſtimatione dignum in reipublicæ legibus permutabit. Neque enim conſentaneum eſſet, inquit.

ΠΛΑΤΩΝΟΣ

ΠΟΛΙΤΕΙΩΝ,

Η, ΠΕΡΙ ΔΙΚΑΙΟΥ.

ΔΙΑΛΟΓΟΣ ΠΕΜΠΤΟΣ.

ΑΓΑΘΗΝ μὲν τοίνυν τὴν τοιαύτην πόλιν τε καὶ πολιτείαν καὶ ὀρθὴν καλῶ, καὶ ἄνδρα τοιοῦτον· κακὰς δὲ τὰς ἄλλας καὶ ἡμαρτημένας, εἴπερ αὕτη ὀρθὴ, περί τε πόλεων διοικήσεις καὶ περὶ ἰδιωτῶν ψυχῆς τρόπου κατασκευὴν, ἐν τέτταρσι πονηρίας εἴδεσιν οὔσας. Ποίας δὴ ταύτας; ἔφη. Καὶ ἐγὼ μὲν ᾖα τὰς ἐφεξῆς ἐρῶν, ὥς μοι ἐφαίνοντο ἕκαστα ἐξ ἀλλήλων μεταβαίνειν. ὁ δὲ Πολέμαρχος (σμικρὸν γὰρ ἀπωτέρω τοῦ Ἀδειμάντου καθῆστο) ἐκτείνας τὴν χεῖρα, καὶ λαβόμενος τοῦ ἱματίου ἄνωθεν αὐτοῦ παρὰ τὸν ὦμον, ἐκεῖνόν τε προσηγάγετο, καὶ προτείνας ἑαυτὸν, ἔλεγεν ἄττα προσκεκυφώς· ὧν ἄλλο μὲν οὐδὲν κατηκούσαμεν· τόδε δὲ, Ἀφήσομεν οὖν; (ἔφη) ἢ τὶ δράσομεν; Ἥκιστά γε, ἔφη ὁ Ἀδείμαντος, μέγα ἤδη λέγων. Καὶ

Rebus superioribus paulo altius repetitis, *Philosophiæ* subjectum, Naturam, Utilitatem, *Plato* noster copiose persequitur: ut constet *illam* esse *summi Boni*, id est *Dei* cognitionem, & illo fundamento constaturam esse *Rempublicam*. Quoniam optimam *Remp.* paulo ante dixerat constare summa

ἐγὼ,

PLATONIS
DE
REPUBLICA,
SIVE DE
JUSTO,
DIALOGUS QUINTUS.

BONAM igitur civitatem hujuſmodi rectamque Rempublicam voco, virumque talem bonum eſſe dico. Ac ſi recta hæc reſpublica eſt, alias pravas appello, utpote quæ circa civitatis ipſius gubernationem & privatorum diſciplinam aberrent, quæ quidem in quatuor ſpeciebus pravitatis ſunt. Quænam iſtæ? inquit. Tunc ego narrare pergebam, qua ratione mihi ſingulæ ex ſeſe invicem dependere viderentur. Verum Polemarchus, paulo enim a me longius aberat quam Adimantus, Adimanti poſt tergum ſedens, extendit manum, prehendenſque ſuperne Adimanti pallium circa humeros, & eum ad ſe traxit, & os ad aures ejus admovit. Ex his autem quæ dixit nihil ipſi percipimus, niſi id unum, quod ait, Permittemusne? aut quid agemus? Cui Adimantus altius reſpondens, Minime inquit. Ad

& animorum & omnium rerum communitate, iſtius Communitatis modum ita definit: *Ut* Mulieribus *æque ac* Viris *Officia ſint communia in Republica: Uxores, Liberi, Bona quoque ſint Civibus Communia.* Quæ ſententia recte ab *Ariſtotele* reprehenditur, ſed parum acute.

ἐγὼ, Τὶ μάλιστα, ἔφην, ὑμεῖς οὐκ ἀφίετε; Σὲ, ἦ δ' ὅς· ὅτι ἐγὼ εἶπον, τί μάλιστα. Ἀποῤῥαθυμεῖν ἡμῖν δοκεῖς (ἔφη) καὶ εἶδος ὅλον οὐ τὸ ἐλάχιστον ἐκκλέπτειν τοῦ λόγου, ἵνα μὴ διέλθῃς· καὶ λήσειν οἴει εἰπὼν αὐτὸ φαύλως, ὡς ἄρα περὶ γυναικῶν τε καὶ παίδων παντὶ δῆλον ὅτι [1] κοινὰ τὰ φίλων ἔσται. Οὐκοῦν ὀρθῶς ἔφην, ὦ Ἀδείμαντε; Ναὶ, ἦ δ' ὅς. Ἀλλὰ τὸ ὀρθῶς τοῦτο, ὥσπερ τἄλλα, λόγου δεῖται, τίς ὁ τρόπος τῆς κοινωνίας, πολλοὶ γὰρ ἂν γένοιντο· μὴ οὖν παρῇς, ὅντινα σὺ λέγεις· ὡς ἡμεῖς πάλαι περιμένομεν, οἰόμενοι σέ που μνησθήσεσθαι παιδοποιΐας τε πέρι, πῶς παιδοποιήσονται, καὶ γενομένους πῶς θρέψουσι· καὶ ὅλην ταύτην ἣν λέγεις κοινωνίαν γυναικῶν τε καὶ παίδων· μέγα γάρ τι οἰόμεθα φέρειν, καὶ ὅλον, εἰς πολιτείαν, ὀρθῶς ἢ μὴ ὀρθῶς γιγνόμενον· νῦν οὖν, ἐπειδὴ ἄλλης ἐπιλαμβάνῃ πολιτείας, πρὶν ταῦτα ἱκανῶς διελέσθαι, δέδοκται ἡμῖν τοῦτο, ὃ σὺ ἤκουσας, τὸ σὲ μὴ μεθιέναι, πρὶν ἂν ταῦτα πάντα, ὥσπερ τἄλλα, διέλθῃς. Καὶ ἐμὲ τοίνυν (ὁ Γλαύκων ἔφη) κοινωνὸν [2] τῆς ψήφου ταύτης τίθετε. Ἀμέλει (ἔφη ὁ Θρασύμαχος) πᾶσι ταῦτα δεδογμένα ἡμῖν νόμιζε ὦ Σώκρατες. Οἷον (ἦν δ' ἐγὼ) εἰργάσασθε, ἐπιλαβόμενοί μου; ὅσον λόγον πάλιν, ὥσπερ ἐξ ἀρ-

1 Κοινὰ τὰ φίλων ἔσται] De Communitate *omnium* Bonorum in hoc libro tractat, quæ illi Utilis esse videtur. In *quinto Legum* Lex est lata ut sint πάντα κοινά. *Aristoteles* autem *Platonicæ Reip.* Communionem vehementer impugnat per totum caput 2. 3. 4. 5. libri ejus 2. de *Politicis*. Εἰ κοινὰ πάντα πάντων (inquit) τὶ διοίσουσιν Γεωργοὶ τῶν Φυλάκων; agnoscit Communionem esse Utilem & beneficam, at non ita *stricte* observatam velit, ut *Omnia* sint Communia. Δεῖ πῶς μὲν εἶναι κτήσεις κοινὰς ὅλως δ' ἰδίας. *Oportet bona quodammodo esse Communia sed* simpliciter & Universe *propria*: & rationem subjungit; *quia curæ divisæ non gignent Expostulationes.* Αἱ ἐπιμέλειαι διηρημέναι τὰ ἐγκλήματα πρὸς ἀλλήλους οὐ ποιήσουσι.

χῆς,

hæc ego. Quidnam illud eſt quod non vultis permittere? Te, inquit ille. Quid adeo? inquam ego. Declinare nempe nobis videris, inquit, ſpeciemque totam diſputationis hujus non minimam ſubticere, ne nobis exponas, atque ſurripere: putaſque latere nos quod male dixiſti, de uxoribus quidem & pueris, conſtare ſcilicet omnibus, *omnia inter amicos communia eſſe debere.* An non recte, ô Adimante, dixi, inquam? Recte nimirum, inquit, ſed quemadmodum in aliis, ita in hoc explanare oportet, qua ratione ita ſe recte id habeat, quis communionis ſit modus. Nam multi eſſe poſſunt. Ne igitur id prætermittas, quo minus nobis aperias quem tu potiſſimum dicas. Nos enim diu jam expectamus, ſperantes expoſiturum te tam circa filiorum procreationem quæ ſit generationis conditio, quam circa nutrionem, quæ educationis futura ſit ratio, qualiſque debeat eſſe hæc omnis quam tu dicis, uxorum liberorumque communio. Plurimum quippe, imo vero totum referre iſtud ad rempublicam ducimus, rectene an non agatur. Nunc igitur quum rempublicam aliam aggrediaris priuſquam ſatis commode tractaveris hæc, viſum id nobis eſt, quod & ipſe audiſti, ne te aliud quicquam aggredi permittamus, antequam hæc omnia quemadmodum cætera expoſuiſſes. Me quoque, inquit Glauco, vobiſcum ſentire exiſtimate. Equidem Thraſymachus, in hoc, inquit, proculdubio nos convenire omnes, ô Socrates, puta. Quid agitis, obſecro, quid me ita revocatis? quam gravem rurſus tanquam a principio diſputationem de *Repub.* ſuſcitatis? Nempe ego quaſi hanc jam peregiſſem, gau-

At ſæpius ſibi contradicit *Ariſtoteles*, magis ex *invidia* in *Platonem*, quam *benevolentia* erga *Remp.* ſcribens. Ἀναγκαῖον πρὸς τὴν πολιτείαν βλέποντας παιδεύειν καὶ τοὺς παῖδας καὶ τὰς γυναῖκας, εἴπερ τι διαφέρει πρὸς τὸ τὴν πόλιν εἶναι σπουδαίαν τὰς γυναῖκας εἶναι σπουδαίας cap. 13. lib. 1. *Pol.* quem vide & ſequens caput. 2 Τὴς ψηφω] Vide ſupra pag. 148.

χῆς, κινεῖ τε περὶ τ πολιτείας· ἣν ὡς ἤδη διεληλυθὼς ἔγωγε ἔχαιρον· ἀγαπῶν εἴ τις ἐάσῃ ταῦτα ἀποδεξάμενος ὡς τότε ἐρρέθη· ἃ νυῦ ὑμεῖς ὥσπερ ἀναλῦντες, οὐκ ἴστε ὅσον ἐσμὸν λόγων ἐπεγείρετε· ὃν ὁρῶν ἐγὼ, παρῆκα τότε, μὴ πολὺ ὄχλον. Τί δέ; (ἦ δ' ὃς ὁ Θρασύμαχος) ἀνθρακωρυχίας οἵᾳ τοσάδε νυῦ ἐνθάδε ἀφῖχθαι, ἀλλ' ἢ λόγων ἀκροσομένους; Ναὶ, εἶπον, μετείων γε. Μέτριον δέ γ' ἔφη, ὦ Σώκρατες, ὁ Γλαύκων, τοιούτων λόγων ἀκούειν, ὅλος ὁ βίος, νοῦν ἔχουσιν· ἀλλὰ τὸ μὴ ἡμέτερον ἔα· σὺ δὲ περὶ ὧν ἠρωτῶμην μηδαμῶς ἀποκάμῃς ἢ σοι δοκεῖ διεξιὼν, τίς ἡ κοινωνία τοῖς φύλαξιν ἡμῶν παίδων τε πέρι καὶ γυναικῶν ἕξαι· καὶ τροφῆς νέων ἔτι ὄντων, ἃ ἐν τῷ μεταξὺ χρόνῳ γιγνομένης γενέσεώς τε καὶ παιδείας, ἣ δὴ ὀκνωτάτη δοκεῖ εἶναι· πειρῶ σοῦ εἰπεῖν τίνα τρόπον δεῖ γίγνεσθαι αὐτῶν. Οὐράδιον, ὦ εὐδαίμων (ἦν δ' ἐγὼ) διελθεῖν· πολλὰς γὰρ ἀπιστίας ἔτι μᾶλλον τ ἔμπροσθεν ὧν διήλθομεν· καὶ γὰ ὡς δυνατὰ λέγεις, ἀπιστοῖτ' ἄν· καὶ εἰ ὁλιμάλιζα γένοιτο, ὡς ἄρτ' ἂν εἴη ταῦτα, καὶ ταύτῃ, ἀπιστίαν· διὸ δὴ καὶ ὄκνος τις αὐτῶν ἅπτεσθαι μὴ βύχὴ δοκῇ εἶναι ὀλόγος, ὦ φίλε ἑταῖρε. Μηδὲν (ἦ δ' ὃς) ὄκνει· οὔτε γὰρ ἀνώμονες, οὔτε ἄπιστοι, οὔτε δύσνοι οἱ ἀκουόμενοι. Καὶ ἐγὼ εἶπον, ὦ ἄριστε, ἦ πᾶ βουλόμενός με παραθαρρύνεις, λέγεις; Ἔγωγ', ἔφη. Πᾶν τοίνυν (ἦν δ' ἐγὼ) τοὐναντίον ποιεῖς· πιστεύοντος μὲν γὰρ ἐμοῦ ἐμοὶ εἰδέναι ἃ λέγω, καλῶς εἶχεν ἡ παραμυθία· ἐν γὰρ φρονίμοις τε καὶ φίλοις,

1 Χρυσοχήσουσας] Quando aliquis ingentes de re aliqua ſpes concepit, ſed fruſtratus eſt, dicitur Χρυσοχήσειν. Proverbium aiunt ab hujuſmodi eventu natum. Invaluerat Fama apud Vulgus *Athenienſium* in *Hymetto* monte magna auri fragmenta videri, quæ a Formicis

περὶ

debam, ſatis eſſe factum exiſtimam, ſi quis hæc in partem acciperet in quantum dicta ſunt. Quæ vos nunc exigentes, neſcitis quantum diſputationum inſtigetis examen. Quod ego tunc proſpiciens, prætermiſi ne multas nobis turbas excitaret: Quid vero inquit Thraſymachus, conveniſſe huc hos arbitraris, ô Socrates, ut aurum funderent, potius quam ut ſermones audirent? Ut ſermones audirent, inquam, ſed moderatos. Modus vero & terminus horum ſermonum audiendorum, ô Socrates, inquit Glauco, omnis vita eſt viris, mentem habentibus. Sed nos quidem mitte, tu vero ne graveris, ſi tibi videtur, ea quæ perquirimus, declarare, quæ noſtris cuſtodibus circa mulieres & filios ſit futura communio, quæve nutriendorum puerorum ratio eo ipſo in tempore adhibenda, quod generationem inter & diſciplinam labitur, quæ laborioſiſſima certe eſſe videtur, conare nobis hæc aperire. Haud facile, inquam, ô vir beate, explicari hæc poſſunt, plures enim in his quam in ſuperioribus inſunt ambiguitates. Primo quidem an fieri hæc poſſint, dubitaretur. Quinetiam ſi poſſint, utrum optima iſta ſint & quomodo, dubitabitur. Quapropter difficultas hæc me dehortatur, verentem, ô amice conjunctiſſime, ne votum quoddam eſſe mea hæc oratio videatur. Ne pigeat, inquit, obſecro, neque enim auditores habes ingratos, vel incredulos, vel malevolos. O vir optime, inquam ego, num ut exhorteris me, hæc affers? Nempe. Contra inquam, omnino facis. Nam ſi ego perſuadeam mihi, noſſe me hæc quæ dico, tempeſtiva eſt adhortatio hæc. Nempe tutum eſt & audendum, inter amicos prudenteſque viros vera quæ quis cognoſcit, de maximis pretio-

pugnacibus ſervarentur. Creduli quidam Homines ſumptis armis illas expugnaturi prodierunt. Qui cum re infecta frustraque ſumpto labore in urbem redierunt, irriſi ſunt a cæteris civibus hoc ſarcaſmate utentibus, Σὺ δ' ὦ χρυσοχόησιν;

περὶ τῶν μεγίστων τὲ καὶ φίλων τἀληθῆ εἰδότα λέγειν, ἀσφαλὲς καὶ θαῤῥαλέον· ἀπιστοῦντα δὲ καὶ ζητοῦντα ἅμα τοὺς λόγους ποιεῖσθαι (ὃ δὴ ἐγὼ δρῶ) φοβερόν τε καὶ σφαλερὸν, οὔτι γέλωτα ὄφλειν· (παιδικὸν γὰρ τοῦτό γε) ἀλλὰ μὴ σφαλεὶς τῆς ἀληθείας, οὐ μόνον αὐτὸς, ἀλλὰ καὶ τοὺς φίλους ξυνεπισπασάμενος κείσομαι, περὶ ἃ ἥκιστα δεῖ σφάλλεσθαι· προσκυνῶ δὲ [1] Ἀδράστειαν, ὦ Γλαύκων, χάριν οὗ μέλλω λέγειν. ἐλπίζω γὰρ οὖν ἔλαττον ἁμάρτημα, ἀκουσίως τινὸς φονέα γενέσθαι, ἢ ἀπατεῶνα, καλῶν τε καὶ ἀγαθῶν καὶ δικαίων καὶ νομίμων· περὶ τοῦτο οὖν τὸ κινδύνευμα κινδυνεύειν ἐν ἐχθροῖς κρεῖττον ἢ φίλοις· ὥστε εὖ με παραμυθῇ. Καὶ ὁ Γλαύκων γελάσας, Ἀλλ' ὦ Σώκρατες (ἔφη) ἐάν τι πάθωμεν πλημμελὲς ὑπὸ τοῦ λόγου, ἀφίεμέν σε ὥσπερ φόνου καθαρὸν εἶναι, καὶ μὴ ἀπατεῶνα ἡμῶν· ἀλλὰ θαῤῥήσας λέγε· Ἀλλὰ μέντοι, εἶπον, καθαρός γε καὶ ἐκεῖ ὁ ἀφεθεὶς, ὡς ὁ νόμος λέγει· εἰκὸς δέ γε, εἴπερ ἐκεῖ, κἀνθάδε. Λέγε τοίνυν (ἔφη) τούτου γ' ἕνεκα. Λέγειν δὴ (ἔφην ἐγὼ) χρὴ ἀνάπαλιν αὖ νῦν, ἅ ποτε ἴσως ἔδει ἐφεξῆς λέγειν, τάχα δὲ οὕτως ἂν ὀρθῶς ἔχοι, μετὰ τὸ ἀνδρεῖον δρᾶμα παντελῶς διαπεραινθέν, τὸ γυναικεῖον αὖ περαίνειν· ἄλλως τε καὶ ἐπειδὴ σὺ οὕτω προκαλῇ· ἀνθρώποις γὰρ φῦσι, καὶ παιδευθεῖσιν, ὡς ἡμεῖς διήλθομεν, κατ' ἐμὴν δόξαν οὐκ ἔσται ἄλλη ὀρθὴ παίδων τε καὶ γυναικῶν κτῆσίς τε καὶ χρεία, ἢ κατ' ἐκείνην τὴν ὁρμὴν ἰοῦσιν ἥνπερ τὸ πρῶτον ὡρμήσαμεν· ἐπεχειρήσαμεν δέ που ὡς ἀγέλης φύλακας τοὺς ἄνδρας καθιστάναι τῷ λόγῳ; Ναί. Ἀκολουθῶμεν τοί-

1 Ἀδράστειαν] *Jovis* & *Necessitatis* Filia scelerum acerrima vindex, quam nemo Malus aut vi aut clam potest effugere.

Ut scelere infando quod nec si-

νυν,

ſiſque rebus pronuntiare. Cum diffidentia vero & ambiguitate verba facere, quemadmodum ipſe facio, cavendum & periculoſum, ne riſum audientibus moveam: nam puerile id quidem: ſed ne a vero procul aberrans, & ipſe falſitati ſuccumbam, & amicos mecum traham in ruinam, & in his una decipiamur, in quibus minime omnium errare conveniat. Adoro itaque ſupplex *Adraſteiam* ob ea quæ dicturus ſum, Glauco. Reor enim minus eum delinquere, qui non ſponte aliquem perimit, quam qui circa conſtitutiones de honeſtis & bonis juſtiſque fallit. Hoc autem diſcrimen ſubire præſtat inter inimicos homines, quam amicos. Quare melius, (ô Glauco,) me confirma. At enim, ô Socrates, inquit Glauco ſubridens, ſiquo pacto nos ex hac diſputatione errare contigerit, abſolvimus te velut ab homicidio, & inſontem in hac deceptione pronuntiabimus. Ergo audacter diſputationem ingredere. Porro innocens eſt, inquam, qui illic abſolvitur, ut leges docent. Ergo & qui hic abſolvitur, innocens. Dic igitur, inquit, hanc ob cauſam. Dicere nunc rurſus oportet, inquam, quæ forte deinceps dicenda erant. Fortaſſe autem operæ pretium eſt, poſteaquam quæ ad viros pertinent quaſi actum quendam ſuum habuere, deinceps quæ ſunt mulierum referre, præſertim cum ad hoc ipſe me cohorteris. Hominibus quidem natis & eruditis, quemadmodum ſupra narravimus, ut mea fert opinio nulla eſt alia recta liberorum mulierumque adeptio atque uſus, quam ea via gradientibus, quam ipſi a principio ingreſſi ſumus. Et enim conati ſumus tanquam gregi cuſtodes, viros ſermone præficere. Nempe, inquit. Sequatur igitur generationem nutritionemque quam ſimilli-

nat Adraſteia *errore Parentem.*
Ladere utrumque uno ſtudeas | Catu . in Ciri.

νων, καὶ τὴν γένεσιν καὶ τροφὴν τῶν παρὰ πλησίαν ἀποδιδόντες· καὶ σκοπῶμεν εἰ ἡμῖν πρέπει, ἢ οὔ. Πῶς; ἔφη. Ὧδε· τὰς θηλείας τῶν φυλάκων κυνῶν πότερα ξυμφυλάττειν οἰόμεθα δεῖν ἅπερ ἂν οἱ ἄρρενες φυλάττωσιν, καὶ ξυνθηρεύειν, καὶ τἆλλα κοινῇ πράττειν; ἢ τὰς μὲν οἰκουρεῖν ἔνδον, ὡς ἀδυνάτους ἀπὸ τῶν σκυλάκων τόκον τε καὶ τροφήν· τὸν δὲ πονεῖν τε καὶ πᾶσαν ἐπιμέλειαν ἔχειν περὶ τὰ ποίμνια; Κοινῇ, ἔφη, πάντα· πλὴν ὡς ἀσθενεστέραις χρώμεθα τοῖς δέ, ὡς ἰσχυροτέροις. Οἵόντ' οὖν (ἔφην ἐγὼ) ἐπὶ ταὐτὰ χρῆσθαί τινι ζώῳ, ἂν μὴ τὴν αὐτὴν τροφήν τε καὶ παιδείαν ἀποδιδῶς; Οὐκ οἷόν τε. Εἰ ἄρα ταῖς γυναιξὶν ἐπὶ ταυτὰ χρησόμεθα καὶ τοῖς ἀνδράσι, ταυτὰ καὶ διδακτέον αὐταῖς; Ναί. Μουσικὴ μὲν ἐκείνοις τε καὶ γυμναστικὴ ἐδόθη; Ναί. Καὶ ταῖς γυναιξὶν ἄρα τύπτω τὼ τέχνα καὶ τὰ περὶ τὸν πόλεμον ἀποδοτέον; καὶ χρηστέον κατ' ταυτά; Εἰκὸς ἐξ ὧν λέγεις, ἔφη. Ἴσως δὴ (εἶπον) ὧδέ τὸ ἔθος, γελοῖα ἂν φαίνοιτο πολλὰ περὶ τὰ νῦν λεγόμενα, εἰ πραχθῇ ἢ λέγεσθαι. Καὶ μάλα, ἔφη. [2] Τί (ἦν δ' ἐγὼ) γελοιότατον αὐτῶν ὁρᾷς; [3] ἢ δηλαδὴ ὅτι γυμνὰς τὰς γυναῖκας ἐν ταῖς παλαίστραις γυμναζομένας μετὰ τῶν ἀνδρῶν, οὐ μόνον τὰς νέας ἀλλὰ καὶ ἤδη καὶ τὰς πρεσβυτέρας; ὥσπερ τοὺς γέροντας ἐν τοῖς γυμνασίοις, ὅταν ῥυσοὶ καὶ μὴ ἡδεῖς τὴν ὄψιν, ὅμως φιλογυμνοῦσι; Νὴ τὸν Δία, ἔφη. Γελοῖον γὰρ ἄν, ὡς γε ἐν τῷ παρεόντι, φανείη· Οὐκοῦν (ἦν δ' ἐγὼ) ἐπείπερ ὡρμήσαμεν λέγειν, οὐ φοβητέον τὰ τῶν χαριέντων

1 Πλὴν ὡς] Post hæc verba lege παῖς μοι ut sequentibus παῖς ἦ respondeant.

2 Τί γελοιότατον] Optime respondet cuidam percontanti, *Nonne ridiculum est nudas Mulieres cum viris in publicum prodire in Gymnasticis certaminibus?* Novum id quidem atque insolens, non tamen ridi-

σκώμ-

mam adhibentes, consideremusque utrum ita deceat, necne? Quonam pacto, inquit. Ita, utrum inter canes custodes, fœminas ipsas censemus una eadem custodire debere, quæ & mares, & una venari, ac cætera omnia communiter facere, an fœminas quidem intus domestica asservare, tanquam imbecillas propter ipsum catulorum partum & nutrimentum: masculos aut labores subire, omnemque armenti curam gerere? Communiter his, inquit, omnia tribuimus, nisi quod fœminis ut imbecillioribus, maribus ut robustioribus utimur. Fierine potest, ut animali aliquo ad eadem utaris, nisi eadem ratione nutriveris, erudierisque? Nullo modo. Si ergo fœminis ad eadem utemur ac viris, in eisdem eas erudire decet. Certe. Musicam autem & gymnasticam viris tribuimus. Sane. Mulieribus igitur artes hæ similiter & res bellicæ tribuendæ sunt, ad eademque uti his decet. Consentaneum istud quidem ex his quæ dicis. Forsitan multa præter consuetudinem ridicula videbuntur dicta circa ea quæ nunc dicunt, si agantur ut dicunt. Et maxime quidem. Quid in his maxime ridiculum cernis? An quia nudas fœminas conspecturus sis in palæstris cum viris certantes, non modo juvenes, sed & vetulas, quemadmodum senes viros in gymnasiis, quando una exercentur, licet jam rugosi neque aspectu jucundi sint? Ita per Jovem. Nam ridendum id quidem, ut nunc res sunt, videatur. Nos igitur postquam dicere cœpimus, haudquaquam vereri debemus facetorum hominum ridicula quotcunque & qualiacunque jaciant adversus hujusmodi mutationem, quam circa mu-

culum quum nihil aliud censeri debet ridiculum quam quod malum est.

3 Ἢ δηλαδή] Ex iis quæ antea notavit *Stephanus*, perspicere poterit Lector, hic quoque scribendum esse ἢ δῆλα δή ὅτι.

sicam

σκώμματα, ὅσα καὶ οἷα ἂν εἴποιεν εἰς τὴν τοιαύτην μεταβολὴν γενομένην καὶ περὶ τὰ γυμνάσια, καὶ περὶ μουσικὴν, καὶ οὐκ ἐλάχιστα περὶ τὴν τῶν ὅπλων, σχέσιν, καὶ ἵππων ὀχήσεις. Ὀρθῶς (ἔφη) λέγεις· ἀλλ' ἐπείπερ λέγειν ἠρξάμεθα, πορευτέον πρὸς τὸ τραχὺ τοῦ νόμου, δεηθεῖσί τε τούτων, μὴ τὰ αὑτῶν πράττειν, ἀλλὰ σπουδάζειν, καὶ ὑπομνήσασιν ὅτι οὐ πολὺς χρόνος ἐξ οὗ τοῖς Ἕλλησιν ἐδόκει αἰσχρὰ εἶναι καὶ γελοῖα ἅπερ νῦν τοῖς πολλοῖς τῶν βαρβάρων, γυμνοὺς ἄνδρας ὁρᾶσθαι· καὶ ὅτε ἤρχοντο τῶν γυμνασίων πρῶτον μὲν Κρῆτες, ἔπειτα Λακεδαιμόνιοι, ἐξῆν τοῖς τότε ἀστείοις, ταῦτα πάντα κωμῳδεῖν· ἢ οὐκ οἴει; Ἔγωγε. Ἀλλ' ἐπειδὴ, οἶμαι, χρωμένοις ἄμεινον τὸ ἀποδύεσθαι τοῦ συγκαλύπτειν πάντα τὰ τοιαῦτα, ἐφάνη, καὶ τὸ ἐν τοῖς ὀφθαλμοῖς δὴ γελοῖον ἐξερρύη ὑπὸ τοῦ ἐν τοῖς λόγοις μηνυθέντος ἀρίστου, καὶ τοῦτο ἐνεδείξατο ὅτι μάταιος ὃς γελοῖον ἄλλό τι ἡγεῖται ἢ τὸ κακόν· καὶ ὁ γελωτοποιεῖν ἐπιχειρῶν, πρὸς ἄλλην τινὰ ὄψιν ἀποβλέπων ὡς γελοίου, ἢ τὴν τοῦ ἄφρονός τε καὶ κακοῦ· [1] ἢ σπουδάζειν, πρὸς ἄλλον τινὰ σκοπὸν στησάμενος ἢ τὴν τοῦ ἀγαθοῦ. Παντάπασι μὲν οὖν, ἔφη. Ἆρ' οὖν οὐ πρῶτον μὲν τοῦτο περὶ αὐτὸν ἀνομολογητέον, εἰ δυνατὰ, ἢ οὔ· καὶ δοτέον ἀμφισβήτησιν, εἴτέ τις φιλοπαίγμων εἴτε σπουδαστικὸς ἐθέλει ἀμφισβητῆσαι πότερον δυνατὴ φύσις ἡ ἀνθρωπίνη ἡ θήλεια τῇ τοῦ ἄρρενος γένους κοινωνῆσαι εἰς ἅπαντα τὰ ἔργα, ἢ οὐδ' εἰς ἕν· ἢ εἰς τὰ μὲν οἵατε, εἰς δὲ τὰ, οὔ· καὶ τοῦτο δὴ τὸ περὶ τὴν πόλεμον ποτέρων ἐστίν; ἆρ' οὐχ οὕτως ἂν κάλλιστά τις ἀρχόμενος, ὡς τὸ εἰκὸς, καὶ κάλλιστα τελευτήσειε; Πολύ γε, ἔφη· βούλει οὖν

[1] Ἢ σπουδάζειν] In præcedente Edit Scriptum est σπουδάζει. Sed hanc probant & *Stephanus* & *Ficinus*: Manife-

(ἦν

ſicam gymnaſticamque inducimus, neque minus circa armaturam equeſtremque facultatem. Probe loqueris. Ergo poſtquam dicere cœpimus, pergamus ad legis ſeveritatem, rogantes iſtos ne ſuo more agant ſed ſeria cogitent, admonenteſque haud longum præteriſſe tempus, ex quo Græcis turpia & ridicula videbantur, quæ hodie barbarorum pleriſque ridenda videntur, nudos videlicet ſpectare viros: & quando primum exercitationes hujuſmodi aggreſſi fuerunt, in primis quidem *Cretenſes*, deinde etiam *Lacedæmonii*, licebat profecto urbanis & facetis viris qui tunc erant, hæc omnia carpere, an non putas? Equidem. Verum poſtquam, ut arbitror, utentibus viſum eſt commodius nudato corpore quam operto homines exerceri, factum eſt ut quia optimum id fuerat oratione indicatum, oculis ridiculum minime videretur. Ex quo perſpicuum eſt vanum eſſe eum hominem, qui deridendum quicquam præterquam quod eſt malum exiſtimat, irridereque aggreditur, aliam quampiam ſibi proponens deriſionis cauſam quam quod inſipidum atque malum; aut honeſtum quicquam & ſtudio dignum exiſtimat, alio reſpiciens quam ad bonum. Sic eſt omnino. An non de hoc primum convenire oportet, utrum poſſint hæc fieri, necne? concedere inſuper cuique ut pro arbitrio adverſus hæc ambigat, ſive joco, ſive ſerio, quis addubitare voluerit, utrum in hominum natura poſſit fœmina cum maſculo in omnibus operibus communicare, vel in nullo, vel in quibuſdam valeat, in aliis vero nequaquam, ipſaque res militaris utro in genere horum ſit? Nonne quiſquis ita recte exorſus fuerit, ut decens eſt, recte etiam peraget? Maxime. Vis ergo ut nos aliorum vices gerentes nobis ipſis dubitandi rationes inſtituamus, ne quæ in alteram partem dici poſſunt ſine

ſtum eſt quoque repetendum eſſe ἐπιχειρῶν cum σπουδάζειν | quia poſitum fuit cum illius contrario γελωτοποιῶν.

de-

(ἦν δ' ἐγὼ) ἡμεῖς πρὸς ἡμᾶς αὐτοὺς ὑπὲρ τ̃ ἄλλων ἀμφισβητήσωμεν, ἵνα μὴ ἔρημα τὰ γ̃ ἑτέρων λόγων πολιορκῆται; Οὐδέν, ἔφη, κωλύει. Λέγωμεν δὴ ὑπὲρ αὐτῶν ὅτι, Ὦ Σώκρατές τε καὶ Γλαύκων, οὐδὲν δεῖ ὑμῖν ἄλλους ἀμφισβητεῖν· αὐτοὶ γὰρ ὅτε ἐν ἀρχῇ τῆς κατοικίσεως, ἣν ᾠκίζετε πόλιν, ὡμολογεῖτε δεῖν κατὰ φύσιν ἕκαστον ἕνα ἓν τὸ αὑτῶν πράττειν. Ὡμολογήσαμεν, οἶμαι· πῶς γὰρ οὔ; Ἔστιν οὖν ὅπως οὐ πάμπολυ διαφέρει γυνὴ ἀνδρὸς τῇ φύσει; Πῶς δ' οὐ διαφέρει; Οὐκοῦν ἄλλο καὶ ἔργον ἑκατέρῳ προσήκει προστάττειν τὸ κατ̃ αὐτοῦ φύσιν; Τί μήν; Πῶς οὖν οὐκ ἁμαρτάνεις νῦν, καὶ ταὐναντία ὑμῖν αὐτοῖς λέγεις, φάσκοντες αὖ τοὺς ἄνδρας καὶ τὰς γυναῖκας δεῖν τὰ αὐτὰ πράττειν, πλεῖστον κεχωρισμένην φύσιν ἐχούσας; Ἔξεστι, ὦ θαυμάσιε, πρὸς ταῦτ' ἀπολογεῖσθαι; Ὡς μὲν ἐξαίφνης (ἔφη) γε πάνυ ῥᾴδιον· ἀλλὰ σοῦ δεήσομαί τε καὶ δέομαι. καὶ τ̃ ὑπὲρ ἡμῶν λόγον, ὅστις ποτ' ἐστίν, ἐρώτησον. Ταῦτ' ἐστίν (ἦ δ' ἐγὼ) ὦ Γλαύκων, καὶ ἄλλα πολλὰ τοιαῦτα, ἃ ἐγὼ πάλαι προορῶν ἐφοβούμην τε καὶ ὤκνουν ἅπτεσθαι γ̃ νόμου γ̃ περὶ τῆ τ̃ γυναικῶν καὶ παίδων κτῆσιν καὶ τροφήν. Οὐ μὰ τ̃ Δία, ἔφη· εὖ γὰρ οἰκόλῳ ἔοικεν. Οὐ γάρ, εἶπον· ἀλλὰ δὴ ὧδ' ἔχει· ἄντε τις εἰς κολυμβήθραν μικρὰν ἐμπέσῃ, ἄντε εἰς τὸ μέγιστον πέλαγος μέσον, ὅμως γε νεῖ οὐδὲν ἧττον. Πάνυ μὲν οὖν. Οὐκοῦν καὶ ἡμῖν νοητέον, καὶ πειρατέον σώζεσθαι ἐκ γ̃ λόγου, ' ἤτοι δελφίνά τιν' ἐλπίζοντας ἡμᾶς ἀπολαβεῖν ἂν, ἤ τινα ἄπορον σωτηρίαν. Ἔοικεν, ἔφη. Φέρε δὴ (ἦ δ' ἐγὼ) ἐάν τι εὑρωμεν τ̃ ἔξοδον· ὡμολογοῦμεν γὰρ δὴ ἄλλην φύσιν ἄλλου δεῖν ἐπιτηδεύειν, γυναικὸς ἢ καὶ ἀνδρὸς ἄλλην εἶναι· τὰς δὲ ἄλλας φύσεις τὰ αὐτὰ φαμὲν νῦν δεῖν ἐπιτηδεύσαι.

defenſione, oppugnentur? Nihil prohibet. Dicamus igitur ſub eorum perſona hunc in modum. Nihil opus eſt, ô Socrates atque Glauco, ut alii nobis repugnent. Nam inter nos ſtatim a principio condendæ civitatis conſtitit, oportere ſecundum naturam unumquemque unum quiddam quod ſuum eſſet peragere. Conſtitit, quidni? Eſtne igitur, ubi non longe mulier ipſa natura a viro differt? Cur non differat? Ergo nonne opus utrique aliud pro natura utriuſque eſt tribuendum? Proculdubio tribuendum. Quid reſtat igitur, quo minus aberretis nunc, vobiſque ipſis contradicatis? quandoquidem aſſeritis viros & mulieres oportere eadem operari, cum tamen natura valde inter ſe diſcrepent. Habebisne, ô mirifice vir, quid ad iſta pro noſtra defenſione reſpondeas? In præſentia quidem, inquit, haud ſatis facile. Sed orabo te atque oro, ut quid potiſſimum in noſtri ſermonis defenſionem afferri poſſit, exponas. Hæc quidem, ô Glauco, inquam, cæteraque generis ejuſdem permulta jandudum proſpiciens timidus atque invitus ad hanc legem deſcendebam de mulierum & filiorum adeptione. atque nutritione. Profecto inquit, non leve iſtud apparet. Non certe. Sed ita res ſe habet. Sive quis in ſtagnum breve prolapſus eſt, ſive profundum in pelagus, nihilominus tamen natat. Prorſus. An non & nobis quoque natandum, conandumque, ut diſputationis undas incolumes evadamus, ſperantes aut delphinum nos aliquem ſuſcepturum aut aliam quandam inſperatam repentinamque ſalutis cauſam nobis fore? Ita videtur. Circumſpice obſecro, ſi qua exitum nanciſcamur. Convenit ſiquidem inter nos naturam aliam aliud opus tractare debere: Mulieris autem & viri diverſam eſſe naturam. Diverſas naturas in præſentia iiſdem ſtu-

1 Ἤτοι δελφῖνα τινὰ] Alluſio ad *Arionem* a *Delphine* ſervatum, quando in mare a Nautis præcipitatus eſt. — *inter Delpinas* Arion.

dere

σαι· ταῦτα ἡμῶν κατηγορεῖτε. Κομιδῆ γε. Ἡ γενναία (ἦν δ' ἐγὼ) ὦ Γλαύκων ἡ δύναμις τῆς ἀντιλογικῆς τέχνης. Τί δή; ὅτι, εἶπον, δοκοῦσί μοι εἰς αὐτὴν καὶ ἄκοντες πολλοὶ ἐμπίπτειν, καὶ οἴεσθαι οὐκ ἐρίζειν, ἀλλὰ διαλέγεσθαι, διὰ τὸ μὴ δύνασθαι κατ' εἴδη διαιρούμενοι τὸ λεγόμενον ἐπισκοπεῖν, ἀλλὰ κατ' αὐτὸ τὸ ὄνομα διώκειν οὗ λεχθέντος τὴν ἐναντίωσιν, ἔριδι οὐ διαλέκτῳ πρὸς ἀλλήλους χρώμενοι. Ἔστι γὰρ δὴ (ἔφη) περὶ πολλοὺς τοῦτο τὸ πάθος· ἀλλὰ μῶν καὶ πρὸς ἡμᾶς τοῦτο τείνει ἐν τῷ παρόντι; Παντάπασι μὲν οὖν, ἦν δ' ἐγώ. κινδυνεύομεν γοῦν ἄκοντες ἀντιλογίας ἅπτεσθαι. Πῶς; Τὸ μὴ τὴν αὐτὴν φύσιν ὅτι οὐ τῶν αὐτῶν δεῖ ἐπιτηδευμάτων τυγχάνειν, πάνυ ἀνδρείως τε καὶ ἐριστικῶς κατὰ τὸ ὄνομα διώκομεν· ἐπεσκεψάμεθα δὲ οὐδ' ὁπηοῦν τί εἶδος τὸ τῆς ἑτέρας τε καὶ τῆς αὐτῆς φύσεως, καὶ πρὸς τί τεῖνον, ὡριζόμεθα τότε, ὅτε τὰ ἐπιτηδεύματα ἄλλῃ φύσει ἄλλα, τῇ δὲ αὐτῇ τὰ αὐτὰ ἀπεδίδομεν. Οὐ γὰρ οὖν (ἔφη) ἐπεσκεψάμεθα. Τοιγάρτοι (εἶπον) ἔξεστιν ἡμῖν, ὡς ἔοικεν, ἀνερωτᾷν ἡμᾶς αὐτοὺς εἰ ἡ αὐτὴ φύσις φαλακρῶν καὶ κομητῶν, καὶ οὐχ ἡ ἐναντία· καὶ ἐπειδὰν ὁμολογῶμεν ἐναντίαν εἶναι, ἐὰν φαλακροὶ σκυτοτομῶσι, μὴ ἐᾷν κομήτας· ἐὰν δ' αὖ κομῆται, μὴ τοὺς ἑτέρους. Γελοῖον μέν τ' ἂν εἴη, ἔφη. Ἆρα κατ' ἄλλό τι (εἶπον ἐγὼ) γελοῖον, ἢ ὅτι τότε οὐ πάντως τὴν αὐτὴν καὶ τὴν ἑτέραν φύσιν ἐτιθέμεθα, ἀλλ' ἐκεῖνο τὸ εἶδος τῆς ἀλλοιώσεώς τε καὶ ὁμοιώσεως μόνον ἐφυλάττομεν, τὸ πρὸς αὐτὰ τεῖνον τὰ ἐπιτηδεύματα; οἷον, ἰατρικὸν μὲν καὶ ἰατρικὴν τὴν ψυχὴν ἔχοντα, τὴν αὐτὴν φύσιν ἔχειν ἐλέγομεν· ἢ οὐκ οἴει; Ἔγωγε. Ἰατρικὸν δὲ καὶ τεκτονικὸν, ἄλλην. Πάντως που. Οὐκοῦν (ἦν δ' ἐγώ) καὶ τὸ τῶν ἀνδρῶν καὶ τὸ

τῶν

dere rebus jubemus. In hoc nos quidem a vobis accuſamur. Valde. Quam generoſa, ô Glauco, contradictoriæ artis potentia eſt? Cur, inquit? Quia videntur mihi permulti etiam inviti in eam incidere, arbitrarique nequaqam litigare, ſed diſſerere, ex eo quod nequeant ſecundum ſpecies dividentes, id quod dicitur, perſpicere, imo vero ſecundum ipſum nomen contrarietatem propoſiti proſequantur, contendentes potius inter ſe quam diſputantes. Contingit enim multis. Sed nunquid & nobis idem nunc accidit? Et maxime quidem, inquam. Videmur ſane inviti contradictionem attingere. Qua ratione? Quod natura eadem opera eadem tractare non debeat, fortiter admodum & contentioſe, ſi verba inſpicias, contendimus. Conſideravimus autem nullo pacto quæ ſpecies alterius ejuſdemve naturæ ſit, & quorſum reſpicientes tunc deſcripſerimus, quando diverſæ naturæ ſtudia diverſa, eidem vero eadem attribuebamus. Certe nequaquam id conſideravimus. Cæterum licet nobis, ut videtur, a nobiſipſis exquirere: nunquid eadem natura calvorum ſit & comatorum, an contraria potius: ac poſtquam conceſſerimus eſſe contrariam, ſi calvi coria incidant calceoſque conficiant, haudquaquam ſinere comatos homines eadem facere: ſin aut comati, calvos nequaquam permittere. At riſu dignum id eſſet, inquit. An ob aliud ridendum iſtud, quam quod tunc non omnino eandem & diverſam naturam poſuimus ſed illam duntaxat diſſimilitudinis & ſimilitudinis ſpeciem obſervavimus, quæ ad ipſa eadem ſtudia pertinebat? Quemadmodum medicum & hominem habentem animum medicinæ ſtudiis aptum, naturam eandem habere diximus, an non cenſes? Equidem. Medicinæ vero aptum alium & alium virum promptum ad fabricandum. Omnino. Nonne inquam

τῶν γυναικῶν γένος, ἐὰν μὲν πρὸς τέχνην τινὰ ἢ ἄλλο ἐπιτήδευμα διαφέρον φαίνηται, τοῦτο δὴ φήσομεν ἑκατέρῳ δεῖν [1] ἀποδιδόναι· ἐὰν δὲ αὐτῷ τούτῳ φαίνηται διαφέρειν, τῷ τὸ μὲν θῆλυ τίκτειν, τὸ δὲ ἄῤῥεν ὀχεύειν, οὐδέντι πω φήσομεν μᾶλλον ἀποδεδεῖχθαι ὡς πρὸς ὃ ἡμεῖς λέγομεν διαφέρει γυνὴ ἀνδρός· ἀλλ' ἔτι οἰησόμεθα δεῖν τὰ αὐτὰ ἐπιτηδεύειν τούς τε φύλακας ἡμῖν καὶ τὰς γυναῖκας αὐτῶν. Καὶ ὀρθῶς, ἔφη. Οὐκοῦν μετὰ τοῦτο κελεύομεν τὸν τὰ ἐναντία λέγοντα, τοῦτο αὐτὸ διδάσκειν ἡμᾶς, πρὸς τίνα τέχνην ἢ τί ἐπιτήδευμα τῶν περὶ πόλεως κατασκευήν, οὐχ ἡ αὐτὴ ἀλλὰ ἑτέρα φύσις γυναικός τε καὶ ἀνδρὸς; Δίκαιον γοῦν. Τάχα τοίνυν ἄν, ὅπερ σὺ ὀλίγον πρότερον ἔλεγες, εἴποι ἂν καὶ ἄλλος, ὅτι ἐν μὲν τῷ παραχρῆμα ἱκανῶς εἰπεῖν, οὐ ῥᾴδιον· ἐπισκεψαμένῳ δὲ οὐδὲν χαλεπόν. Εἴποι γὰρ ἄν. Βούλει οὖν δεώμεθα τοῦ τὰ τοιαῦτα ἀντιλέγοντος, ἀκολουθῆσαι ἡμῖν, ἐάν πως ἡμεῖς ἐκείνῳ ἐνδειξώμεθα ὅτι οὐδέν ἐστιν ἐπιτήδευμα ἴδιον γυναικὶ, πρὸς διοίκησιν πόλεως; Πάνυ γε. [2] Ἴθι δὴ (φήσομεν πρὸς αὐτὸν) ἀποκρίνου, ἄρα οὕτως ἔλεγες, τὸν μὲν, εὐφυῆ πρός τι εἶναι, τὸν δὲ, ἀφυῆ, ἐν ᾧ ὁ μὲν ῥᾳδίως τί μανθάνοι, ὁ δὲ, χαλεπῶς; καὶ ὁ μὲν, ἀπὸ βραχείας μαθήσεως ἐπιπολὺ εὑρετικὸς εἴη οὗ ἔμαθεν, ὁ δὲ, πολλῆς μαθήσεως τυχὼν καὶ μελέτης, μηδ' ἃ ἔμαθε σώζοιτο; καὶ τῷ μὲν τὰ τοῦ σώματος ἱκανῶς ὑπηρετοῖ τῇ διανοίᾳ, τῷ δὲ ἐναντιοῖτο; ἆρ' ἄλλα ἄττα ἐστὶν ἢ ταῦτα,

1 Τοῦτο δή] Invenitur alia lectio, in qua est μὴ pro δὴ & punctum interrogationis post ἀποδιδόναι.

2 Ἴθι δὴ] Jam probaturus est quod assumpserat viz. *eandem esse* Viri *ac* Mulieris *Naturam in Reip. administratione, ac proinde non esse* ἀλλοτριοπραγμοσύνην, *si mulieres publica tractarent munera.* Dicit aliam quidem Mulierem esse alia infir-

quam & genus virorum mulierumque genus, ſi in arte aliqua aut ſtudio nihil inter ſe differant, hoc utique aſſignandum eſſe dicemus? ſin autem hoc ipſo (duntaxat) diſcrepare inter ſe videantur, quod fœmina quidem parit, vir gignit, nihilo magis admittemus oſtenſum fuiſſe, quod ad id de quo nunc nos loquimur, a viro fœmina differat, ſed adhuc cenſebimus tam cuſtodes quam mulieres ipſorum eadem apud nos exercere debere? Recte nimirum. Nonne poſt hæc jubemus eum qui contraria dicit, hoc ipſum nos docere, ad quam artem, quodve officium ex iis quæ inſtituendæ civitati conducunt, non eadem ſit, ſed diverſa viri mulieriſque natura? Sic utique decet. Fortaſſe quod tu paulo ante dicebas, alius quoque diceret: ſubito quidem quantum ſatis ſit dicere, non facile eſſe: ſin autem cogitetur, haud multum difficile. Diceret utique. Vis ergo oremus eum qui hæc nobis opponit, ut aures nobis præbeat, attendatque ſiqua ratione illi oſtendere queamus, nullum eſſe ſtudium ad civitatis gubernationem, mulieris proprium? Omnino. Age itaque ad eum dicamus. Reſponde, nunquid ita dicebas, ad aliquod opus aliquem apto inepto-ve a natura ingenio præditum eſſe ex eo intelligi, quod ille facile quicquam percipit, hic difficile: & ille ſi breve quid a quoquam didicerit, ex eo ipſe plurimum inveniat, hic autem cum plura didicerit excogitaveritque, ne illa quidem quæ didicit, ſervet, & illi quidem corporis membra ſufficienter menti ſubſerviunt, huic autem repugnant? An alia præter hæc ſunt, quibus hominem ad omnia, natura

miorem, vel contra, ut homo homine melior vel deterior; concedetque Fœmineam Naturam καθ' αὐτὴν virorum eſſe infirmiorem, ideo leviora Munera in illas transferenda: attamen non penitus excludi debent, quia tam *Fœminæ cani* quam *Maſculo* demandatur gregis Cuſtodia.

οἷς τὴ εὐφυῆ πρὸς ἕκαστα καὶ τὴ μὴ, ὡρίζου; Οὐδεὶς (ἦ δ' ὃς) ἄλλα φήσει. Οἶσθά τι οὖν ὑπὸ ἀνθρώπων μελετώμενον, ἐν ᾧ οὐ πάντα ταῦτα τὸ τῶν ἀνδρῶν γένος διαφερόντως ἔχει ἢ τὸ τῶν γυναικῶν; ἢ μακρολογῶμεν, τὴ τε ὑφαντικὴν λέγοντες, καὶ τὴ τῶν ποπάνων τε καὶ ἑψημάτων θεραπείαν; ἐν οἷς δή τι δοκεῖ τὸ γυναικεῖον γένος εἶναι, οὗ καὶ καταγελαστότατόν ἐστι πάντων ἡττώμενον; Ἀληθῆ (ἔφη) λέγεις, ὅτι πολὺ κρατεῖται ἐν ἅπασιν, ὡς ἔπος εἰπεῖν, τὸ γένος τοῦ γένους· γυναῖκες μέντοι πολλαὶ πολλῶν ἀνδρῶν βελτίους εἰς πολλά· τὸ δὲ ὅλον ἔχει ὡς σὺ λέγεις. Οὐδὲν ἄρα ἐστὶν, ὦ φίλε, ἐπιτήδευμα τῶν πόλιν διοικούντων, γυναικὸς, διότι γυνὴ, οὐδ' ἀνδρὸς, διότι ἀνήρ· ἀλλ' ὁμοίως διεσπαρμέναι αἱ φύσεις ἐν ἀμφοῖν τοῖν ζώοιν· καὶ πάντων μὲν μετέχει γυνὴ ἐπιτηδευμάτων κατὰ φύσιν, πάντων δὲ ἀνήρ· ἐπὶ πᾶσι δὲ ἀσθενέστερον γυνὴ ἀνδρός. Πάνυ γε. Ἦ οὖν ἀνδράσι πάντα προστάξομεν, γυναικὶ δὲ οὐδέν; Πῶς; Ἀλλ' ἔστι γὰρ (οἶμαι) ὡς φήσομεν, καὶ γυνὴ ἰατρικὴ, ἡ δ' οὔ· καὶ μουσικὴ, ἡ δ' ἄμουσος φύσει. Τί μήν; Καὶ γυμναστικὴ, ἡ δ' ἄρα οὔ· οὐδὲ πολεμική· ἡ δὲ ἀπόλεμος καὶ οὐ φιλογυμναστική; ἡ δ' ἄρα οὔ. Οἶμαι ἔγωγε. Τί δὲ, φιλόσοφός τε, καὶ μισόσοφος; καὶ θυμοειδὴς, ἡ δ' ἄθυμος; Ἔστι καὶ ταῦτα. Ἔστιν ἄρα καὶ φυλακικὴ γυνὴ; ἡ δ' οὔ; Ἢ οὐ τοιαύτην καὶ τῶν ἀνδρῶν τῶν φυλακικῶν φύσιν ἐξελεξάμεθα; Τοιαύτην μὲν οὖν. Καὶ γυναικὸς ἄρα καὶ ἀνδρὸς ἡ αὐτὴ φύσις εἰς φυλακὴν πόλεως, πλὴν ὅσα ἀσθενεστέρα ἢ ἰ-

1 Ἡ δ' ἄθυμος] Fortasse hæc verba ita sunt legenda, καὶ οὐ γυμναστικὴ, ἡ δ' ἄρα οὔ; οὐδὲ πολεμικὴ, ἡ δ' ἀπόλεμος; καὶ οὐ φιλογυμναστικὴ, ἡ δ' ἄρα οὔ; ut οὔ in prioribus locis sit pro *Nonne*. Est & alia lectio ubi nonnulla verba omittuntur *viz.* καὶ γυμναστική· ἡ δ' ἄρα καὶ πολεμικὴ· ἡ δὲ ἀπόλεμος, καὶ οὐ φιλογυμναστικὴ;

χυ-

bene institutum, ab instituto male, distinguis? Nullus alia dicet. Scisne aliquid ab hominibus exerceri, in quo non hæc omnia virorum genus excellentiora habeat quam mulierum? an late verbis vagabimur, texendi artificium commemorantes, placentarumque & obsoniorum confectionem, in quibus aliquid mulierum genus esse videtur: ubi perridiculum sane apparet cum vincitur? Vera loqueris, inquit quia longe in omnibus, ut ita dixerim, genus a genere superatur. Mulieres autem multæ multis viris ad multa præstantiores. Universum vero ipsum se habet ut dicis. Nullum igitur est, ô amice, inter eos qui civitatem administrant, officium mulieris proprium qua mulier est, aut viri proprium qua vir, sed æque dispersæ in animantibus utriusque naturæ: & omnium quidem munerum natura particeps est fœmina, omnium & vir, in omnibus autem imbecillior viro fœmina. Sic est prorsus. Num viris omnia præcipiemus, mulieri autem nihil? At quomodo? Est utique opinor, ut nos asseremus, inter mulieres quoque alia medicinæ apta, alia minime: alia musicæ, alia natura a musica aliena. Quidni? Et alia quidem ad exercitationes gymnasticas & rem militarem prompta, alia vero ad hæc inepta. Sic arbitror. An non & una quidem sapientiæ studiosa est, altera sapientiam spernit: & una elato animo, altera vero demisso. Et hoc assero. Est ergo & inter fœminas quædam ad custodiendum idonea, quædam minime. An non naturam quandam hujusmodi virorum ad custodiam aptorum elegimus? Ejuscemodi certe. Mulieris itaque & viri eadem

οἶμαι ἔγωγε· Τὶ δὲ; φιλόσοφός τε καὶ θυμοειδής; ἢ δὲ μισόσοφος καὶ ἄθυμος; Lubentius hanc lectionem quam illam sequor. ut dicatur, καὶ γυμναστικὴ subaudi ἐστὶ γυνὴ; nec vero γυμναστικὴ solum sed etiam πολεμική. Est contra quæ nec sit πολεμικὴ sed ἀπόλεμος, nec γυμναστικὴ sive φιλογυμναστική. *Stephanus.*

σχυροτέρα ἐστι. Φαίνεται. Καὶ γυναῖκες ἄρα αἱ τοιαῦται τοῖς τοιούτοις ἀνδράσιν ἐκλεκτέαι συνοικεῖν τε καὶ συμφυλάττειν, ἐπείπερ εἰσὶν ἱκαναὶ καὶ ξυγγενεῖς αὐτοῖς τὴν φύσιν. Πάνυ γε. Τὰ δ' ἐπιτηδεύματα οὐ τὰ αὐτὰ ἀποδοτέα ταῖς αὐταῖς φύσεσι; Τὰ αὐτά. Ἥκομεν ἄρα εἰς τὰ πρότερα περιφερόμενοι, καὶ ὁμολογοῦμεν μὴ παρὰ φύσιν εἶναι ταῖς τῶν φυλάκων γυναιξὶ μουσικήν τε καὶ γυμναστικὴν ἀποδιδόναι. Παντάπασι μὲν οὖν. Οὐκ ἄρα ἀδύνατά γε οὐδὲ εὐχαῖς ὅμοια ἐνομοθετοῦμεν, ἐπείπερ κατὰ φύσιν ἐτίθεμεν τὸν νόμον· ἀλλὰ τὰ νῦν παρὰ ταῦτα γιγνόμενα, παρὰ φύσιν μᾶλλον ὡς ἔοικε γίγνεται. Ἔοικεν. Οὐκοῦν ἡ ἐπίσκεψις ἡμῖν ἦν, εἰ δυνατά γε καὶ βέλτιστα λέγοιμεν; Ἦν γάρ. Καὶ ὅτι μὲν δὴ δυνατὰ, διωμολόγηται; Ναί. Ὅτι δὲ δὴ βέλτιστα, τὸ μετὰ τοῦτο δεῖ διομολογησθῆναι; Δῆλον. Οὐκοῦν, πρός γε τὸ φυλακικὴν γυναῖκα γενέσθαι, οὐκ ἄλλη μὲν ἡμῖν ἄνδρας ποιήσει παιδεία, ἄλλη δὲ γυναῖκας ἄλλως τε καὶ τὴν αὐτὴν φύσιν παραλαβοῦσα; Οὐκ ἄλλη. Πῶς οὖν ἔχεις δόξης τοῦ τοιοῦδε πέρι; Τίνος δή; τοῦ ὑπολαμβάνειν παρὰ σεαυτῷ, τὸν μὲν, ἀμείνω ἄνδρα, τὸν δὲ, χείρω· ἢ πάντας ὁμοίους ἡγῇ; Οὐδαμῶς. Ἐν οὖν τῇ πόλει ἣν ᾠκίζομεν, πότερον οἴει ἡμῖν ἀμείνους ἄνδρας ἐξειργάσθαι τοὺς φύλακας, τυχόντας ἧς διήλθομεν παιδείας, ἢ τοὺς σκυτοτόμους τῇ σκυτικῇ παιδευθέντας; Γελοῖον (ἔφη) ἐρωτᾷς. Μανθάνω, ἔφην· τί δέ; τῶν ἄλλων πολιτῶν οὐχ οὗτοι ἄριστοι; Πολύ γε. Τί δέ; αἱ γυναῖκες τῶν γυναικῶν οὐχ αὗται ἔσονται βέλτισται; Καὶ τοῦτο, ἔφη, πολύ. Ἔστι δέ τι πόλει ἄμεινον ἢ γυναῖκάς τε καὶ ἄνδρας ὡς ἀρίστους ἐγγίνεσθαι; Οὐκ ἔστι. Τοῦτο δὴ μουσική τε καὶ γυμναστικὴ παραγιγνόμεναι, ὡς ἡμεῖς διήλθομεν, ἀπεργά

eſt natura ad civitatem cuſtodiendam, niſi quod mulieribus ut imbecillioribus, viris ut robuſtioribus eſt utendum. Apparet. Mulieres itaque tales eligendæ ſunt, ut unam cum viris & colant & cuſtodiant civitatem, poſtquam idoneæ ſunt, & natura ipſis cognatæ. Prorſus. Studia vero nonne eadem naturis eiſdem ſunt tribuenda? Eadem. Longo tandem circuitu ad priora illa revoluti ſumus, conceſſimuſque haud eſſe contra naturam ut cuſtodum uxores muſica & gymnaſtica exerceantur. Summopere. Quare neque impoſſibilia, neque voti ſimilia, lege ſtatuimus: quandoquidem quæ his temporibus contra hæc fiunt, multo magis præter naturam fiunt, ut videtur. Nonne diſceptandum nobis erat, utrum poſſibilia & optima diceremus, necne? Erat. Quod poſſibilia quidem, conſtitit. Plane. Quod autem optima, poſt hæc aſſerendum. Patet. Nonne ut mulier ad cuſtodiam ſufficiens evadat, non alia opus eſt diſciplina quam ea qua viros ad idem inſtruimus, præſertim cum eadem reperiatur in utriſque natura. Non alia. Quid porro de hoc ſentis? De quo? Utrum exiſtimes inter viros alias meliores, deteriores alios eſſe, an ſimiles omnes. Nequaquam. In civitate igitur quam condidimus, nunquid cenſes nobis præſtantiores viros effici cuſtodes, eam quam dedimus diſciplinam adeptos, quam coriarios peritia coriaria imbutos? Ridiculam rem quæris, inquit. Intelligo equidem. Quid autem? nonne & reliquorum civium hi optimi? Et reliquorum. Quin & mulieres tales erunt optimæ mulierum? Valde. Eſtne aliquid melius civitati, quam viros optimos, & mulieres optimas effici. Non eſt. Hoc autem muſica & gymnaſtica, ſi adſint, ut ſupra narravimus

φργάσολαι; Πῶς δ' οὔ; Οὐ μόνον ἄρα δυνατὸν ἀλλὰ καὶ ἄριστον πόλει νόμιμον ἐπιθεμεν. Οὕτως. Ἀποδυτέον δὴ ταῖς τῶν φυλάκων γυναιξὶν, ἐπειδὴ ἀρετὴν ἀντὶ ἱματίων ἀμφιέσονται· καὶ κοινωνητέον πολέμου τε καὶ τῆς ἄλλης φυλακῆς τῆς περὶ τὴν πόλιν· καὶ οὐκ ἄλλα προστακτέον· τούτων δ' αὐτῶν τὰ ἐλαφρότερα ταῖς γυναιξὶν ἢ τοῖς ἀνδράσι δοτέον, διὰ τὴν τοῦ γένους ἀσθένειαν· ὁ δὴ γελῶν ἀνὴρ ὅτι γυμναῖς γυναιξὶ, τοῦ βελτίστου ἕνεκα γυμναζομέναις, ἀτελῆ τοῦ γελοίου σοφίας δρέπων καρπὸν, οὐκ οἶδεν, ὡς ἔοικεν, ἐφ' ᾧ γελᾷ, οὐδ' ὅ, τι ποιεῖ· κάλλιστα γὰρ δὴ τοῦτο καὶ λέγεται καὶ τελεῖται, ὅτι τὸ μὲν [1] ὠφέλιμον, καλόν· τὸ δὲ βλαβερὸν, αἰσχρόν. Παντάπασι μὲν οὖν. Τοῦτο μὲν τοίνυν ἐν ὥσπερ κῦμα φῶμεν ἀφευγεῖν, τοῦ γυναικεῖα περὶ νόμου λέγοντες, ὥστε μὴ παντάπασι καταγελασθῆναι, πιθέντας ὡς δεῖ κοινῇ πάντα ἐπιτηδεύειν τούς τε φύλακας ἡμῖν καὶ τὰς φυλακίδας· ἀλλά που τοῦτον αὐτὸν αὐτῷ ὁμολογῆσθαι, ὡς δυνατά τε καὶ ὠφέλιμα λέγει.

Καὶ μάλα, ἔφη, ὁ σμικρὸν κῦμα διαφεύγεις. Φήσεις γε (ἦν δ' ἐγὼ) οὐ μέγα αὐτὸ εἶναι, ὅταν τὸ μετὰ τοῦτο ἴδῃς. Λέγε δή, ὡς ἴδω, ἔφη. Τοῦτῳ (ἔφην ἐγὼ) ἕπεται νόμος καὶ τοῖς ἔμπροσθεν τοῖς ἄλλοις, ὡς ἐγῷμαι, ὅδε. Τίς; Τὰς γυναῖκας ταύτας τῶν ἀνδρῶν τούτων πάντων πάσας εἶναι κοινὰς, ἰδίᾳ δὲ μηδενὶ μηδεμίαν συνοικεῖν· καὶ τοὺς παῖδας αὖ κοινοὺς, καὶ μήτε γονέα ἔκγονον εἰδέναι τὸν αὐτοῦ, μήτε παῖδα, γονέα. Πολὺ (ἔφη) τοῦτο ἐκείνου μεῖζον πρὸς ἀπιστίαν, καὶ μᾶλλον δυνατὸν πέρι καὶ μᾶλλον ὠφελίμου. Οὐκ, οἶμαι (ἦν δ' ἐγὼ)

1 Τὸ μὲν ὠφέλιμον] Præclare supradictum est, *Stultum esse illum hominem qui* ridiculum *quidquam aliud esse arbitratur quam quod* malum *est. Ea est* Decori *vis* (inquit Tullius) *ut ab* honesto *non queat separari. Nam & quod* decet, honestum

πέρι

ravimus, perficere poſſunt? Proculdubio. Itaque non ſolum poſſibile, ſed & optimum quiddam civitati lege ſtatuimus. Ita eſt. Nudandum igitur corpus erit mulieribus cuſtodum, quandoquidem pro veſtibus virtutem induent. Communicandumque in bello & alia omni civitatis cuſtodia, neque aliud agendum. Horum tamen officiorum leviora quæque propter generis imbecillitatem mulieribus potius quam viris tribuenda Qui vero nudas riſerit, optimi cujuſdam gratia ita ſeſe exercentes, inanem circa ridiculas nugas carpens ſapientiæ fructum, neque quid rideat, neque quid agat, intelligit. Scite nanque iſtud & dicitur & dicetur, *quod utile quidem, honeſtum: noxium autem, turpe.* Et maxime quidem. Hunc itaque unum veluti fluctum enataſſe dicamus, de mulierum lege tractantes, adeo ut ne omnino ſubmergi contigerit, dum aſſeveraremus omnia communiter exercere debere cuſtodes apud nos tam viros quam mulieres. Imo vero ſibimet oratio noſtra conſenſit; quod videlicet & poſſibilia & utilia ferret.

Non parvum certe fluctum evaſiſti. Haud ingentem eſſe dices cum deinceps, quod ſequitur, videris. Dic jam ut videam. Hanc quidem & priores cæteras, ut puto, hæc quoque lex ſequitur. Quænam? Mulieres ſcilicet has horum virorum omnes omnium eſſe communes, nullamque privatim habitare cum aliquo ac rurſus communes liberos, neque patrem filium ſuum noſſe, neque filium ſuum agnoſcere patrem. Multo certe difficilius iſtud creditur, quod vel poſſibile, vel utile

eſt, & quod honeſtum *eſt*, decet. De Off. lib. 1. *Quod* honeſtum *& cum virtute eſt, id opinor* bonum *neque eſt ullum* Bonum, *de quo non is, qui habeat poſſit* honeſte *gloriari.* Cic. Parad.

περί γε τοῦ ὠφελίμου ἀμφισβητεῖσθαι ἂν, ὡς οὐ μέγιστον ἀγαθὸν, κοινὰς μὲν τὰς γυναῖκας εἶναι, κοινοὺς δὲ τοὺς παῖδας εἴπερ οἷόν τε· ἀλλ' οἶμαι περὶ τοῦ εἰ δυνατὸν, ἢ μὴ, πλείστην ἀμφισβήτησιν γενέσθαι. Περὶ ἀμφοτέρων (ἦ δ' ὃς) εὖ μάλα ἂν ἀμφισβητηθείη. Λέγεις (ἦν δ' ἐγὼ) λόγων ξύστασιν· ἐγὼ δ' ᾤμην ἔκ γε τοῦ ἑτέρου ἀποδράσεσθαι, εἴ σοι δόξειεν ὠφέλιμον εἶναι· λοιπὸν δὲ δὴ μοι ἔσεσθαι περὶ τοῦ δυνατοῦ καὶ μή. Ἀλλ' οὐκ ἔλαθες (ἦ δ' ὃς) ἀποδιδράσκων· ἀλλ' ἀμφοτέρων πέρι δίδου λόγον. Ὑφεκτέον (ἦν δ' ἐγὼ) δίκην· τοσόνδε μέντοι χάρισαί μοι· ἔασόν με ἑορτάσαι, ὥσπερ οἱ ἀργοὶ τὴν διάνοιαν εἰώθασιν ἑστιᾶσθαι ὑφ' ἑαυτῶν, ὅταν μόνοι πορεύωνται· καὶ γὰρ εἰ τοιοῦτοί που, πρὶν ἐξευρεῖν τίνα τρόπον ἔσται τὶ ὧν ἐπιθυμοῦσι, τοῦτο παρέντες, ἵνα μὴ κάμνωσι βουλευόμενοι περὶ τοῦ δυνατοῦ καὶ μὴ, θέντες ὡς ὑπάρχον ὃ βούλονται, ἤδη τὰ λοιπὰ διατάττουσι· καὶ χαίρουσι διεξιόντες οἷα δράσουσι γενομένου, ἀργὸν καὶ ἄλλως ψυχὴν, ἔτι ἀργοτέραν ποιοῦντες· ἤδη οὖν καὶ αὐτὸν μαλθακίζομαι, καὶ ἐκεῖνα μὲν ἐπιθυμῶ ἀναβαλέσθαι, καὶ ὕστερον ἐπισκέψασθαι εἰ δυνατά· νῦν δὲ, ὡς δυνατῶν ὄντων θεὶς, σκέψομαι, ἄν μοι παρίῃς, πῶς διατάξουσιν αὐτὰ οἱ ἄρχοντες γιγνόμενα, καὶ ὅτι πάντων ξυμφορώτατ' ἂν εἴη πραχθέντα τῇ τε πόλει καὶ τοῖς φύλαξι, ταῦτα πειράσομαί σοι πρότερα συνδιασκοπεῖσθαι, ὕστερα δ' ἐκεῖνα, εἴπερ παρίῃς. Ἀλλὰ παρίημι, ἔφη, καὶ σκόπει. Οἶμαι τοίνυν (ἦν δ' ἐγὼ) εἴπερ ἔσονται οἱ ἄρχοντες ἄξιοι τούτου τοῦ ὀνόματος, οἵ τε τούτοις ἐπίκουροι κατὰ ταυτὰ, τοὺς μὲν ἐθελήσειν ποιεῖν τὰ ἐπιτατόμενα, τοὺς δὲ ἐπιτάξειν, τὰ μὲν, αὐτοὺς πειθομένους τοῖς νόμοις, τὰ δὲ καὶ μιμουμένους

ὅσα

ſit. Haud quidem arbitror dubium id cuiquam fore, quin utile ſit, maximumque bonum mulieres eſſe communes, communes & filios, ſi modo fieri poſſit. Verum arbitror plurimam in eo verſari controverſiam nunquid fieri poſſit, necne. De utriſque ſane, inquit, ſummopere ambigetur. Dicis, inquam, utique ſermonum conſpirationem. Ego autem rebar me jam ab altero liberatum iri, ſi tibi viſum fuerit utile eſſe. Nam reliquum mihi fore, ut perquirerem utrum poſſibile ſit an non. At latere, inquit, non potuiſti, dum fugeres. Redde de utriſque rationem. Suſtinenda, inquam, mihi certe pœna eſt, ſed hoc mihi indulge. Sine me quaſi feriantem reficiam, quemadmodum qui pigri mente ſunt, paſcere ſe cogitatione, quoties ſoli proficiſcuntur ſolent. Etenim hujuſmodi homines, antequam compertum habeant quo pacto fieri poſſit quod petunt, omittentes hanc curam, ne nimio labore graventur, dum de poſſibili & impoſſibili deliberent, quaſi id jam ſit quod affectant, ſibi perſuadent? ac deinceps reliqua digerunt, oblectanturque dum cogitant qualia præſente illo facturi ſint, atque ita torpentem animum etiam languidiorem reddunt. Haud ſecus & ipſe pigreſco, cupioque in aliud tempus diſceptationem illam differre, poſſibiliane iſta ſint an non. In præſentia vero quaſi poſſibilia ſint admittens, perquiram ſi ipſe permiſeris qua ratione hæc ita exiſtentia principes diſponent, quodve omnium utiliſſima erunt iſta ſi fiant, tam cuſtodibus quam civitati. Hæc conabor equidem prius tecum conſiderare, illa vero poſterius, ſi conceſſeris. Concedo equidem, conſidera jam. Arbitror igitur, inquam, ſi modo erunt principes hoc nomine digni, eodemque modo horum miniſtri, hos quidem velle exequi quæ mandantur, illos autem præcipere, partim ipſis parentes legibus, partim imitantes, quate-

ὅσα ἂν ἐκείνοις ἐπιτρέψωμεν. Εἰκὸς, ἔφη. Σὺ μὲν τοίνυν (ἦν δ' ἐγώ) ὁ νομοθέτης αὐτοῖς ὥσπερ τοὺς ἄνδρας οὕτω καὶ τὰς γυναῖκας ἐκλέξας, παραδώσεις καθόσον οἷόν τε ὁμοφυεῖς· οἱ δὲ, ἅτε οἰκίας τε καὶ ξυσσίτια κοινῇ ἔχοντες, ἰδίᾳ δὲ οὐδενὸς οὐδὲν τοιοῦτο κεκτημένου, ὁμοῦ δὴ ἔσονται· ὁμοῦ δὲ ἀναμεμιγμένων καὶ ἐν γυμνασίοις καὶ ἐν τῇ ἄλλῃ τροφῇ, ὑπ' ἀνάγκης, οἶμαι, τῆς ἐμφύτου ἄξονται πρὸς τὴν ἀλλήλων μίξιν· ἢ οὐκ ἀναγκαῖα σοὶ δοκῶ λέγειν; Οὐ γεωμετρικαῖς γε (ἦ δ' ὅς) ἀλλ' ἐρωτικαῖς ἀνάγκαις· αἳ κινδυνεύουσιν ἐκείνων δριμύτεραι εἶναι πρὸς τὸ πείθειν τε καὶ ἕλκειν τὴν πολὺν λεών. Καὶ μάλα, εἶπον· ἀλλὰ δὴ μετὰ ταῦτα, ὦ Γλαύκων, ἀτάκτως μὲν μίγνυσθαι ἀλλήλοις, ἢ ἄλλο ὁτιοῦν ποιεῖν, οὔτε ὅσιον ἐν εὐδαιμόνων πόλει, οὔτ' ἐάσουσιν οἱ ἄρχοντες. Οὐ γὰρ δίκαιον, ἔφη. Δῆλον δὴ ὅτι γάμους τὸ μετὰ τοῦτο ποιήσομεν ἱεροὺς εἰς δύναμιν ὁτιμάλιστα· εἶεν δ' ἂν ἱεροὶ οἱ ὠφελιμώτατοι. Παντάπασι μὲν οὖν. Πῶς οὖν δὴ ὠφελιμώτατοι ἔσονται, τόδε μοι λέγε ὦ Γλαύκων· ὁρῶ γάρ σου ἐν τῇ οἰκίᾳ καὶ κύνας θηρευτικοὺς, καὶ τῶν γενναίων ὀρνίθων μάλα συχνούς· ἆρ' οὖν ὦ πρὸς Διὸς προσέσχηκάς τι τοῖς τούτων γάμοις τε καὶ παιδοποιΐαις; Τὸ ποῖον, ἔφη; Πρῶτον μὲν αὐτῶν τούτων, καίπερ ὄντων γενναίων, ἆρ' οὐκ εἰσί τινες καὶ γίγνονται ἄριστοι; Εἰσί. Πότερον οὖν ἐξ ἁπάντων ὁμοίως γεννᾷς; ἢ προθυμῇ ὅτι μάλιστα ἐκ τῶν ἀρίστων; Εκ τῶν ἀρίστων. Τί δ', ἐκ τῶν νεωτάτων, ἢ ἐκ τῶν γεραιτάτων, ἢ ἐξ ἀκμαζόντων ὅτι μάλιστα; Ἐξ ἀκμαζόντων. Καὶ ἐὰν μὴ οὕτω γεννᾶται, πολύ σοι ἡγῇ χεῖρον ἔσεσθαι τό, τε τῶν ὀρνίθων καὶ τὸ τῶν κυνῶν γένος; Ἔγωγ', ἔφη. Τί δὲ ἵππων οἴει, ἦν δ' ἐγὼ, καὶ τῶν ἄλλων ζώων; ἢ ἄλλῃ πη ἔχειν; Ἄτοπον μέν τ' ἂν (ἦ δ' ὅς) εἴη. Βα-

βαὶ,

tenus illis nos permiſerimus. Probabile id quidem. Tu igitur legiſlator ipſis, quemadmodum viros elegiſti, ita & mulieres eligens, præbebis quoad fieri poteſt conſimiles inter ſe ingenio. Iſti autem utpote ædes & comeſſationes communes habentes, proprium vero nihil talium poſſidentes, una habitabunt, & inter ſe congredientes in gymnaſiis ac reliquo victu, ab innata, ut arbitror, neceſſitate ad mutuam trahentur commixtionem. An non neceſſaria tibi dicere videor? Haudquaquam neceſſaria Geometrica quadam neceſſitate, ſed amatoria, quæ multo acrior eſt quam illa ad perſuadendum vulgo atque trahendum. Nimirum vehementer, inquam ego. Verum poſt hæc, ô Glauco, ſine ordine denudari inter ſe, vel aliud quicquam facere, neque ſanctum eſt in beatorum hominum civitate neque magiſtratus id permittent. Neque enim juſtum eſſet, inquit. Conſtat utique quod nuptias deinceps, quoad fieri poteſt, ſacras inſtituemus. Eſſent autem ſacræ quam utiliſſimæ. Summopere. Quonam pacto utiliſſimæ erunt, hoc mihi dicas, ô Glauco. Video equidem tuis in ædibus & venatorios canes, & generoſas aves frequentes. Nunquid ad iſtorum coitum generationemque quandoque animadvertiſti? Quorſum iſtud? Primum inter hos ipſos licet generoſos, nonne ſunt & fiunt præſtantiſſimi quidam? Sunt. Utrum igitur ex quibuſcunque æque fieri generationem permittis? An curas potius, ut ex optimis generetur? Ex optimis. Num ex tenerrimis quibuſque an ſenio confectis? an ætatis in flore potius conſtitutis? Ex his ipſis potius. Ac niſi hunc in modum generatio fiat, longe deterius fore canum & avium genus exiſtimas? Equidem. Putas in

equis

θαι, ἦν δ' ἐγὼ, ὦ φίλε ἑταῖρε, ὡς ἄρα σφόδρα ἡμῖν [1] δεῖ ἄκρων εἶναι τῶν ἀρχόντων, εἴπερ γε περὶ τὸ τῶν ἀνθρώπων γένος ὡσαύτως ἔχει. Ἀλλὰ μὴν δὴ ἔχει, ἔφη. Ἀλλὰ τί δή; Ὅτι ἀνάγκη αὐτοῖς (ἦν δ' ἐγώ) φαρμάκοις πολλοῖς χρῆσθαι· ἰατρὸν δέ που, μὴ δεομένοις μὲν σώμασι φαρμάκων, ἀλλὰ διαίτῃ [2] ἐθελόντων ὑπακούειν, καὶ φαυλότερον ἐξαρκεῖν [3] ἡγούμεθα εἶναι· ὅταν δὲ δὴ [4] καὶ φαρμακεύειν δέῃ, ἴσμεν ὅτι ἀνδρειοτέρου δεῖ καὶ ἰατροῦ. Ἀληθῆ· ἀλλὰ πρὸς τί λέγεις; Πρὸς τόδε, ἦν δ' ἐγώ· συχνῷ τῷ ψεύδει καὶ τῇ ἀπάτῃ κινδυνεύει ἡμῖν δεήσειν χρῆσθαι τοὺς ἄρχοντας ἐπ' ὠφελείᾳ τῶν ἀρχομένων· ἔφαμεν δέ που, ἐν φαρμάκου εἴδει πάντα τὰ τοιαῦτα χρήσιμα εἶναι. Καὶ ὀρθῶς γε, ἔφη. Ἐν τοῖς γάμοις τοίνυν καὶ παιδοποιΐαις ἔοικε [5] τὸ ὀρθὸν τοῦτο γενέσθαι οὐκ ἐλάχιστον. Πῶς δή; Δεῖ μὲν (εἶπον) ἐκ τῶν ὡμολογημένων, τοὺς ἀρίστους ταῖς ἀρίσταις συγγίνεσθαι ὡς πλεῖστάκις, τοὺς δὲ φαυλοτάτους, ταῖς φαυλοτάταις τοὐναντίον· καὶ τὰ μὲν τὰ ἔκγονα τρέφειν, τὰ δὲ, μή· εἰ μέλλει τὸ ποίμνιον ὅτι [6] ἀκρότατον εἶναι· καὶ [7] ταῦτα πάντα γιγνόμενα λανθάνειν, πλὴν αὐτοὺς τοὺς ἄρχοντας· εἰ αὖ ἡ ἀγέλη τῶν φυλάκων ὅτι μάλιστα ἀστασίαστος ἔσται. Ὀρθότατα, ἔφη. Οὐκοῦν δὴ ἑορταί τινες νομοθετητέαι ἔσονται, ἐν αἷς ξυνάξομεν τάς τε νύμφας καὶ τοὺς νυμφίους· καὶ θυσίαι καὶ

1 Δεῖ ἄκρων εἶναι] Dele iſtud εἶναι, perinde ac ſi ſcriptum eſſet ἡμῖν δεῖ ἄκρων &c. ut dicitur δεῖ μοι τούτου. pro δέομαι τούτου.

2 Ἐθελόντων] Lege ἐθέλουσι, ut ad præcedens σώμασι referatur.

3 Ἡγούμεθα εἶναι] Idem infinitivus εἶναι redundat iterum, niſi putemus non ἐξαρκεῖν ſed ἐξαρκῇ *Platonem* ſcripſiſſe. *Stephanus.*

4 Καὶ φαρμακεύειν] Qui gravibus ærumnis cruciantur, vel magnum aliquid tentant, majus ſolatium & conſilium poſcunt.

equis cæteriſque animalibus aliter evenire? Abſurdum id eſſet. Papæ, ô amice conjunctiſſime, quam ſummis nobis eſt opus principibus, ſiquidem in hominum genere ſimiliter ſe res habet. Habet utique, quid tum? quia neceſſe eſt, inquam, ut medicinis multis utantur. Quando enim medicinis nullis indigent corpora, ſed victus duntaxat inſtitutionem exigunt, medicum certe viliorem ſufficere arbitramur. Cum vero medicinis eſt agendum, ſcimus præſtantiori quodam medico opus fore. Vera narras. Sed quorſum hæc? Nempe neceſſarium fore videtur, ut frequenti mendacio & deceptione utantur principes ad ſubditorum utilitatem. Diximus autem ſupra hujuſcemodi omnia pharmaci medicinæque loco utilia eſſe. Et recte quidem. In nuptiis itaque & liberorum procreatione videtur rectum hoc fieri non mediocriter. Quo pacto? Oportet profecto ſecundum ea quæ ſupra conceſſimus, optimos viros mulieribus optimis ut plurimum congredi: deterrimos autem contra, deterrimis. Et illorum quidem prolem nutrire, horum minime, ſi armentum excellentiſſimum ſit futurum. Et hæc omnia dum agantur, ab omnibus præterquam a principibus ignorari, ſi modo armentum cuſtodum debeat ſeditione carere. Probe admodum. Igitur feſta quædam erunt legibus deſignanda, in quibus ſponſos & ſponſas congregabi-

Curantur Dubii *Medicis* Majoribus *ægri*
Tu venam vel Diſcipulo *committe* Philippi.
Juv. Sat. 13.

5 Τὸ ὀρθὸν τοῦτο] Poſt γενέσθαι infere ἂν, ut γενέσθαι ἂν accipiatur pro γενήσεσθαι, quamvis *Ficinus* interpretetur *Fieri*, perinde ac ſi legiſſet γίνεσθαι.

6 Ἀκριβῶς εἶναι] Quamvis ἀκριβεστάτου aut ἀκρατεστάτου mavult *Stephanus*, Ego *Ficino* aſſentior, quia ſupradictum inveni δεῖ ἡμῖν ἄκρων ἀρχόντων.

7 Ταῦτα πάντα] Multo melius mutare poſſis πάντα in πάντας.

mus,

ὕμνοι ποιητέοι τοῖς ἡμετέροις ποιηταῖς, πρέπουσες τοῖς γιγνομένοις γάμοις· τὸ δ' πλῆθος τ γάμων ὅπῃ τοῖς ἄρχουσι ποιήσομεν· ἵν' ὡς μάλιστα διαφυλάττωσι τ αὐτὸν ἀριθμὸν τ ἀνδρῶν, πρὸς[1] πολεμίους καὶ νόσους καὶ πάντα τὰ τοιαῦτα ἀποσκοποῦντες· καὶ μήτε μεγάλη ἡμῖν ἡ πόλις καὶ τὸ δυνατὸν, μήτε σμικρὰ γίγνηται. Ὀρθῶς, ἔφη. Κλῆροί δή τινες, οἶμαι, ποιητέοι κομψοί, ὅπως τ φαῦλον ἐκεῖνον αἰτιάσθαι ἑφ' ἑκάστης συνέρξεως τύχῃ, ἀλλὰ μὴ τοὺς ἄρχοντας. Καὶ μάλα, ἔφη. Καὶ τοῖς ἀγαθοῖς γέ που τ νέων ἐν πολέμῳ, ἢ ἄλλοθί που, γέρα δοτέον καὶ ἆθλα ἄλλά τε, καὶ ἀφθονώτερα ἡ ἐξουσία τῆς τ γυναικῶν ξυγκοιμήσεως, ἵνα καὶ ἅμα μὲν πρόφασις ὡς πλεῖστοι τ παίδων ἐκ τ τοιούτων σπείρωνται. Ὀρθῶς. Οὐκοῦν καὶ τὰ ἀεὶ γιγνόμενα ἔκγονα παραλαμβάνουσαι αἱ ὑπὸ τούτων ἐφεστηκυῖαι ἀρχαί, εἴτε ἀνδρῶν, εἴτε γυναικῶν, εἴτε ἀμφότεραι· κοινωνοῦμεν γάρ που καὶ ἀρχαὶ γυναιξί τε καὶ ἀνδράσι. Ναί. Τὰ μὲν δὴ τ ἀγαθῶν, δοκῶ, λαβοῦσαι εἰς τ σηκὸν οἴσουσι πρός τινας τροφούς, οἰκοῦσας ἔν τινι μέρει τ πόλεως· τὰ δὲ τ χειρόνων, καὶ ἐάν τι τ ἑτέρων ἀνάπηρον γίγνηται, ἐν ἀπορρήτῳ τε καὶ ἀδήλῳ κατακρύψουσιν, ὡς πρέπει. Εἰ οὖν μέλλει (ἔφη) καθαρὸν τὸ γένος τ φυλάκων ἔσεσθαι. Οὐκοῦν καὶ τροφῆς ὕτοι ὑπομελήσουσι, τάς τε μητέρας ἐπὶ τ σηκὸν ἄγοντες, ὅταν σπαργῶσι, πᾶσαν μηχανὴν μηχανώμενοι ὅπως μηδεμία τὸ αὐτῆς αἰσθήσεται, καὶ ἄλλας γάλα ἐχούσας ἐκποιίζοντες, ἐὰν μὴ αὗται ἱκαναὶ ὦσι· καὶ αὐτῶν τίτθας ὑπομελήσουσι, ὅπως μέτριον χρόνον θηλάσονται· ἀγρυπνίας δὲ καὶ τ ἄλλον πόνον πίθηται τε καὶ τροφοῖς παραδώσουσι. Πολλὴν ῥᾳστώνην (ἔφη) λέγεις τ παιδοποιίας ταῖς τ φυλάκων γυναιξί. Πρέπει γάρ, ἦ δ' ἐγώ· τὸ δ' ἑξῆς

1 Scribe potius πολίμους.

διέλ-

mus, ſacra fient, & hymni a poëtis noſtris, celebrandis nuptiis convenientes. Numerum autem nuptiarum arbitrio principum concedemus, ut ad hoſtes ac morbos cæteraque hujuſmodi reſpicientes, eundem quam maxime civium numerum ſervent, neve populoſa civatas nimis ſit quoad fieri poteſt, neque vacua. Recte loqueris. Sortes igitur quædam tali quodam artificio inſtituendæ, ut deterior ille in qualibet copulatione fortunam non principes culpet. Et maxime quidem. Enimvero his qui inter juvenes præſtantiores ſunt in rebus ſive militaribus, ſive aliis quibuſdam, munera ac præmia danda ſunt, & talia permulta: quin & uberior mulieribus congrediendi licentia, ut ex hac ſimul occaſione filii plures quam ex aliis, ex his ſerantur. Probe. Itaque filios qui ex iis oriuntur ſuſcipient ea quæ talibus præſident imperia, ſive virorum, ſeu fœminarum, ſive utrorumque, communia enim viris & mulieribus imperia. Eſt ita. Accipientia utique præſtantium hominum prolem, ad ovile portabunt, ad nutrices quaſdam ſeorſum in civitatis parte aliqua commorantes. Eos vero qui naſcentur ex deterioribus, ſive etiam ex quibuſcunque aliis, ſed membro aliquo manci ſunt in abditis ut decet locis abſcondent, ſiquidem cuſtodum genus purum futurum eſt. Nutritionem præterea & hi curabunt. Matres enim ad ovile, cum lacte exuberabunt, tranſmittent, procurantes ne ulla ſuum agnoſcere valeat. Ac ſi hæ minus ſuffecerint, alias inſuper lacte plenas adhibebunt. Providebunt quoque ut mediocre tempus in lacte ſugendo ſervetur. Vigilias item laboreſque cæteros nutricibus imperabunt. Plurimum, inquit, facultatis ad procreandam prolem cuſtodum mulieribus tribuis. Sic decet. Sed age deinceps quod maxime intendimus,

διέλθωμεν ὃ προθυμούμεθα· ἔφαμεν γὰρ δὴ ἐξ ἀκμαζόντων δεῖν τὰ ἔκγονα γίγνεσθαι ἀληθῆ. Ἆρ' οὖν σοι ξυνδοκεῖ [1] μέτριος χρόνος ἀκμῆς, τὰ εἴκοσιν ἔτη γυναικὶ, ἀνδρὶ δὲ τὰ τριάκοντα; Τὰ ποῖα αὐτῶν; ἔφη. Γυναικὶ μὲν (ἦν δ' ἐγὼ) ἀρξαμένῃ ἀπὸ εἰκοσαετίδος μέχρι τεσσαρακονταετίδος τίκτειν τῇ πόλει· ἀνδρὶ δὲ, ἐπειδὰν τὴν ὀξυτάτην δρόμου ἀκμὴν παρῇ, τὸ ἀπὸ τούτου γεννᾷν τῇ πόλει, μέχρι πέντε καὶ πεντηκονταέτους. Ἀμφοτέρων γοῦν (ἔφη) αὕτη ἀκμὴ σώματός τε καὶ φρονήσεως. Οὐκοῦν, ἐάν τε πρεσβύτερος τούτων, ἐάν τε νεώτερος, τῶν εἰς τὸ κοινὸν γεννήσεων ἅψηται, οὔτε ὅσιον οὔτε δίκαιον φήσομεν τὸ ἁμάρτημα, ὡς παῖδα φυτεύοντος τῇ πόλει, ὃς, ἂν λάθῃ, γενήσεται [2] οὐχ ὑπὸ θυσιῶν οὐδ' ὑπὸ εὐχῶν φὺς, (ἃς ἐφ' ἑκάστοις τοῖς γάμοις εὔξονται καὶ ἱέρεια καὶ ἱερεῖς καὶ ξύμπασα ἡ πόλις, ἐξ ἀγαθῶν ἀμείνους, καὶ ἐξ ὠφελίμων ὠφελιμωτέρους ἀεὶ τοὺς ἐκγόνους γίνεσθαι) ἀλλ' ὑπὸ σκότου μετὰ δεινῆς ἀκρασίας γεγονώς. Ὀρθῶς, ἔφη. Ὁ αὐτὸς δέ γ', εἶπον, νόμος, ἐάν τις τῶν ἔτι γεννώντων, μὴ συνέρξαντος ἄρχοντος, ἅπτηται τῶν ἐν ἡλικίᾳ γυναικῶν· νόθον γὰρ καὶ ἀνέγγυον καὶ ἀνίερον θήσομεν αὐτὸν παῖδα τῇ πόλει καθιστάναι. Ὀρθότατα, ἔφη. Ὅταν δὲ δὴ, οἶμαι, αἵ τε γυναῖκες καὶ οἱ ἄνδρες τοῦ γεννᾷν ἐκβῶσι τὴν ἡλικίαν, ἀφήσομέν που ἐλευθέρους αὐτοὺς συγγίνεσθαι ᾗ

1 Μέτριος χρόνος] Varia ad voluntatem cujusque legislatoris fuere tempora viris & Mulieribus pro nuptiis assignata. *Aristoteles* noluit viros esse nuptos ante annum tricesimum quintum. *Plato* Noster ante tricesimum, *Hesiodi* ad exemplum, qui dicit

Ὡραῖος δὲ γυναῖκα τεὸν πότι οἶκον ἀγέσθαι.
Μήτε τριηκόντων ἐτέων μάλα πολλ' ἀπολείπων,
Μήτ' ἐπιθεὶς μάλα πολλά.

ἔργ. καὶ ἡμ. lib. 2.

Mulieres autem Maturæ habebantur ab *Aristotele* cum octodecim complessent annos, *Pla-*

ἂν

dimus, percurramus. Diximus plane ex iis qui in flore sunt ætatis oportere filios procreari. Diximus. An non tibi quoque videtur moderatum integræ ætatis tempus esse mulieri quidem annos viginti, viro autem triginta? Quis horum modus? Ut videlicet mulier a vigesimo ætatis anno incipiens, usque ad quadragesimum pariat, vir autem postquam summum sui cursus florem transierit (annos scilicet triginta) usque ad annos quinque & quinquaginta procreet. Profecto, inquit, in iis ætatibus vigor animi corporisque consistit. Si igitur senior istis, sive junior, generationem in communi attigerit, prophanum & iniquum scelus hoc esse censebimus, quasi fœtus in civitate seratur, qui si latuerit, orietur non sub sacrificiis quidem & votis, quæ singulis in nuptiis peragent sacerdotes tam viri quam mulieres, & civitas universa, precantes ut ex bonis meliores, ex utilibus utiliores, nascantur: imo vero sub tenebris ex gravi quadam incontinentia. Recte loqueris. Eadem quoque erit habenda ratio de illo, qui cum adhuc in generandi ætate fuerit, non tamen a principe copulatus fuerit, mulierem ætatis legitimæ attigerit. Nempe hunc asseremus puerum generare spurium, incestum, atque prophanum. Scite admodum. Quando igitur jam mulieres & viri ætatem

to autem vicessimum, tempus ducit opportunius, *Hesiodus* quidecimum.

Ἡ δὲ γυνὴ τέτορ' ἠβώῃ, πέμπτῳ δὲ γαμοῖτο

Idem ἔργ. ἡμέρ.

2 Οὐκ ὑπὸ θυσιῶν] Ante tempus celebrandi nuptias soliti sunt sacrificare, precari, vovere, unde *Juvenis* in *Phor. Terent.*

Spatium quidem apparandis Nuptiis
—sacrificandi dabitur paululum.

de talibus institutis vide *Lipsium* & alios de antiq. Græc.

ἂν ἐθέλωσι, πλὴν θυγατεῖ, καὶ μητεῖ, καὶ ταῖς τῶ θυγατέρων παισὶ, καὶ ταῖς ἄνω μητρός· καὶ τὰς γυναῖκας αὖ, πλὴν υἷεῖ, καὶ πατεῖ, καὶ τοῖς τῶ τοιούτων, εἰς τὸ κάτω καὶ ἐπὶ τὸ ἄνω· καὶ ταῦτά γ' ἤδη πάνλα διακελευσάμενοι προθυμεῖσθε, μάλιστα μὲν μηδ' εἰς φῶς ἐκφέρειν κύημα μηδὲν, ἐὰν γένηται· ἐὰν δέ τι βιάσηται, ὕπω ἐκτεθέναι ὡς οὐκ οὔσης τροφῆς τῷ τοιούτῳ. Καὶ ταῦτα μέν γ', ἔφη, μετρίως λέγεται. Πατέρας δὲ καὶ θυγατέρας, καὶ ἃ νῦν δὴ ἔλεγες, πῶς ἀφεξόμεθα ἀλλήλων; Οὐδαμῶς, ἦν δ' ἐγώ· ἀλλ' ἀφ' ἧς ἂν ἡμέρας τις αὐτῶν νυμφίος γένηται, μετ' ἐκείνην δεκάτῳ μηνὶ καὶ ἑβδόμῳ δὴ ἃ ἂν γένηται ἔκγονα, ταῦτα πάντα προσερεῖ· τὰ μὲν ἄρρενα, υἱεῖς, τὰ δὲ θήλεα, θυγατέρας· καὶ ἐκεῖνα, ἐκείνου πατέρα· καὶ ὅπω δὴ τὰ τούτων ἔκγονα, παίδων παῖδας, καὶ ἐκεῖνα αὖ ἐκείνους, πάππους τε καὶ τίτθας· τὰ δ' ἐν ἐκείνῳ τῷ χρόνῳ γεγονότα οἶμαι ὧν αἱ μητέρες καὶ οἱ πατέρες αὐτῶν ἐγένοντο, ἀδελφάς τε καὶ ἀδελφούς· ὥστε, ὅταν νῦν δὴ ἐλέγομεν ἀλλήλων μὴ ἅπτεσθαι· ἀδελφοὺς δὲ καὶ ἀδελφὰς δοῦναι ὁ νόμος συνοικεῖν, ἐὰν ὁ κλῆρος ταύτῃ συμπίπτῃ, καὶ ἡ Πυθία προσανῇ. Ὀρθότατα, ἦ δ' ὅς. Ἡ μὲν δὴ κοινωνία, ὦ Γλαύκων, αὕτη τε καὶ τοιαύτη γυναικῶν τε καὶ παίδων τοῖς φύλαξί σοι τῆς πόλεως· ὡς ἢ ἐπομένη τε τῇ ἄλλῃ πολιτείᾳ, καὶ μακρῷ βελτίστη, δεῖ δὴ τὸ μὴ τοῦτο βεβαιώσασθαι πρὸς τοῦ λόγου· ἢ πῶς ποιοῦμεν; Οὕτω νὴ Δία, ἦ δ' ὅς. Ἀρ' οὖν οὐχ ἥδε ἤδη τῆς ὁμολογίας, ἔρεσθαι ἡμᾶς αὐτοὺς

1 Ἀδελφοὺς ἢ καὶ ἀδελφὰς] Quandoquidem & libris *Moſis* & *Judæorum* familiaritate uſus eſt noſter *Plato*, Credibile eſt illum, hanc concumbendi veniam *Fratribus* & *Sororibus* conceſſiſſe, quia nulla in ſcripturis (e quibus multa ſumſiſſe fertur) occurrit Lex contra tales concubitus, niſi poſt multiplicatum jam ſatis humanum genus, quod in ipſo mundi i-

generationi aptam egressi fuerint, licere viris dicemus, cuicunque voluerint, præterquam filiæ atque matri, & filiarum natis, matrisve majoribus commisceri: licere & mulieribus cuilibet copulari, præterquam filio atque patri, ac superioribus & inferioribus eorundem. Cum vero hæc omnia mandaverimus, interdicemus fœtum talem (si contigerit) edi & in lucem produci. Siquid autem matrem parere coëgerit, ita exponere præcipiemus, quasi ei nulla nutritio sit. Hæc quoque probe dicuntur. Patres vero & filiæ & (cæteri cognati) quos memorabas, quomodo invicem discernentur? Nullo modo: sed omnes quicunque nascentur decimo mense, vel septimo, ex ea die qua quis liberis operam dedit, masculi ab hoc filii, fœminæ filiæ nominabuntur. Nati autem eum patrem vocabunt, natorum similiter filios ille nepotes esse dicet, isti autem superiores avos & avias nominabunt: at eos qui illo tempore nascerentur, quo patres ipsorum matresque generabant, fratres atque sorores appellabunt. Atque ita quod modo dicebam, nullo modo se mutuo tangerent. Fratribus autem & sororibus lex cohabitationem concedet, si sors dederit, & Pythia simul per responsa firmaverit. Recte admodum. Talis utique erit, ô Glauco, inter civitatis custodes mulierum filiorumque communio, quod autem congruat reliquo civitatis ordini, sitque longe optima, oportet deinceps ratione confirmare: aut quid agemus? Hoc per Jovem, inquit. An non conventionis hujus hoc est principium, ut a nobis ip-

nitio sine Fratrum ac Sororum nuptiis contingere nequivit: τὸν ἀδελφὸν μίγνυσθαι ἀδελφῇ ἐξ ἀρχῆς μὲν ἀδιάφορον ἦν, inquit *M. Ephesius* κοινὸν ἔθος ἀνθρώπων vocat *Diodorus Siculus*. Credo tamen *Platonem* tales concubitus permisisse, ratione tantum habita ad incrementum *Reip.* Nam de *Legibus* Octavo talia conjugia vocat Μηδαμῶς ὅσια καὶ Θεομισῆ.

τί πολε τὸ μέγιστον ἀγαθὸν ἔχομεν εἰπεῖν εἰς πόλεως κατασκευήν, ᾧ δεῖ προσχρώμενον τὸν νομοθέτην τιθέναι τοὺς νόμους, καὶ τί μέγιστον κακόν, εἶτα σκοπεῖσθαι; ἆρα ἃ νῦν δὴ διήλθομεν, εἰς μὲν τὸ τοῦ ἀγαθοῦ ἴχνος ἡμῖν ἁρμόττει, τοῦ δὲ κακοῦ ἀναρμοστεῖ; Πάντων μάλιστα, ἔφη. Ἔχομεν οὖν τι μεῖζον κακὸν πόλει ἢ ἐκεῖνο ὃ ἂν [1] αὐτὴν διαφθείρῃ, καὶ ποιοῖ πολλὰς ἀντὶ μιᾶς; ἢ μεῖζον ἀγαθὸν ᾧ ὃ ἂν ξυνδῇ τε καὶ ποιοῖ μίαν; Οὐκ ἔχομεν. Οὐκοῦν ἡ μὲν ἡδονῆς τε καὶ λύπης κοινωνία ξυνδεῖ, ὅταν ὅτι μάλιστα πάντες οἱ πολῖται, τὰ αὐτῶν γιγνόμενα τε καὶ ἀπολλύμενα, ὡσαπλησίως χαίρωσι καὶ λυπῶνται; Παντάπασι μὲν οὖν, ἔφη. Ἡ δέ γε τῶν τοιούτων ἰδίωσις διαλύει, ὅταν οἱ μὲν, σφόδρα λυπῶνται, οἱ δὲ, σφόδρα χαίρωσι γιγνόμενα ἐπὶ τοῖς αὐτοῖς παθήμασι τῆς πόλεώς τε καὶ τῶν ἐν τῇ πόλει. Τί δ' οὔ; [2] Ἆρ' οὖν ἐκ δὲ τοιόνδε γίνεται, ὅταν μὴ ἅμα φθέγγωνται ἐν τῇ πόλει τὰ τοιάδε ῥήματα, τό τε ἐμὸν καὶ τὸ οὐκ ἐμόν; καὶ περὶ ἄλλοτρίου κτήματος ταὐτὰ τοῦτο λέγωσι τὸ ἐμὸν καὶ τὸ οὐκ ἐμὸν, αὖτη ἄριστα διοικεῖται; Πολύ γε. Καὶ ἥτις δὴ ἐγγύτατα ἑνὸς ἀνθρώπου ἔχει· οἷον, ὅταν τινὸς ἡμῶν δάκτυλός τις πληγῇ, πᾶσα ἡ κοινωνία ἡ κατὰ τὸ σῶμα περὶ τὴν ψυχὴν τεταμένη εἰς μίαν συντάξιν τοῦ ἄρχοντος ἐν αὐτῇ, ἅπαντά τε καὶ πᾶσα ἅμα ξυνήλγησε μέρους πονήσαντος ὅλη· καὶ οὕτω δὴ λέγομεν ὅτι ὁ ἄνθρωπος τοῦ δακτυ-

1 Αὐτὴν διαφθείρῃ] Vide totum 2 caput *Pol. Ariſtot.* lib. 2. ubi hæc verba quam maxime oppugnantur.

2 Ἆρ' οὖν] Invenit *Stephanus* aliam, hujus loci quem ſuſpectum habuit, lectionem in qua aliquot verba ſunt quæ hic deſiderantur. Ita legitur. Ἆρ' οὖν ἐκ τοιόνδε γίνεται, ὅταν μὴ φθέγγωνται ἐν τῇ πόλει τὰ τοιάδε ῥήματα, τό, τε ἐμὸν καὶ τὸ οὐκ ἐμὸν· ἢ περὶ ἀλλοτρίου κατὰ ταυτό; [καὶ μάλα γε· ἐν ᾗ τινι ἂν

λον

ſis ſciſcitemur, quid maximum bonum ad civitatis conſtitutionem inveniamus, ad quod reſpiciens legiſlator, leges condere debet, quidve maximum malum? Conſideremus deinde, an ea quæ modo narravimus, ad boni ipſius veſtigationem nobis conveniant, a mali autem veſtigio diſſonent. Maxime omnium. Habemuſne ullum pernicioſius civitati malum, quam quod eam dividit, & ex una plures facit? vel melius quicquam eo quod ipſam vincit ſimul, & unam efficit? Non habemus. Nonne voluptatis doloriſque communio unit, quando cives omnes maxime ex earundem rerum acceſſu vel deceſſu pariter gaudent ac dolent? Et maxime quidem. Horum vero diverſitas eam diſſolvit, quando eiſdem civitatis & eorum qui in civitate ſunt caſibus alii vehementer dolent, alii geſtiunt. Quidni? Ex hoc autem tale quid provenit, quando non ſimul in civitate hæc verba dicuntur, *Meum* ſcilicet, & *non meum*, ad de alieno eodem modo. Valde. In quacunque igitur civitate complurimi ad idem ſecundum eadem hoc dicunt, *Meum* & *non meum*, ea optime gubernatur. Prorſus & quæcunque quam ſimillime ut unus homo affecta ſit, ut quoties alicujus noſtrum percuſſus eſt digitus, tota corporis communio ad animam pertingens, in unam coordinationem ejus quod in ipſa anima dominatur, ſenſit protinus, totaque ſimul afflicta

πόλει οἱ πλεῖστοι πρὸς ταυτὸ κατὰ ταυτὰ] τοῦτο λέγουσι, τὸ οὐκ ἐμὸν, αὕτη ἄριστα διοικεῖται. *Ex hoc autem tale quid provenit, quando non ſimul in civitate hæc verba vulgantur,* Meum *ac* non Meum. *Ac de alieno eodem modo. Valde. In quacunque igitur civitate complurimi ad idem ſecundum eadem hoc dicunt,* Meum, *&* non Meum, *hæc optime gubernatur.*

λον ἀλγεῖ· καὶ περὶ ἄλλα ὁτιοῦν τῶν ἀνθρώπων ὁ αὐτὸς γε λόγος περί τε λύπης, πονηρὸς μέρος, καὶ περὶ ἡδονῆς, ῥαΐζοντος. Ὁ αὐτὸς γὰρ, ἔφη, καὶ (τοῦτο ὁ ἐρωτᾷς) τοιούτων ἐγγύτατα ἡ ἄριστα πολιτευομένη πόλις οἰκεῖ· ἑνὸς δή, οἶμαι, πάσχοντος τῶν πολιτῶν ὁποιουοῦν ἢ ἀγαθὸν ἢ κακὸν, ἡ τοιαύτη πόλις μάλιστά τε φήσει ἑαυτῆς εἶναι τὸ πάσχον, καὶ ξυνηδήσεσθαι ἅπασα, ἢ ξυλυπήσεσθαι. Ἀνάγκη, ἔφη, τοιούτου γε εὐνόμου. Ὥρα ἂν εἴη (λῶ δ' ἐγὼ) ἐπανιέναι ἡμῖν ἐπὶ τοὺς ἡμετέρους πόλιν καὶ τὰ ἐκ τοῦ λόγου ὁμολογήματα σκοπεῖν ἐν αὐτῇ, εἰ αὐτὴ μάλιστ' ἔχει, εἴτε καὶ ἄλλη τις μᾶλλον. Οὕτω χρή, ἔφη. Τί οὖν; [1] ἔστι μοὶ που καὶ ἐν ταῖς ἄλλαις πόλεσιν ἄρχοντές τε καὶ δῆμος, ἔστι δὲ καὶ ἐν αὐτῇ; Ἔστι. Πολίτας μοὶ δὴ πάντες ἕτοι ἀλλήλους προσερροῦσι; Πῶς δ' οὔ; Ἀλλὰ πρὸς τοὺς πολίτας, τί ὁ ἐν ταῖς ἄλλαις δῆμος τοὺς ἄρχοντας προσαγορεύει; Ἐν μὲν ταῖς πολλαῖς, δεσπότας, ἐν δὲ ταῖς δημοκρατουμέναις, αὐτὸ τοῦνομα τοῦτο ἄρχοντας. Τὶ δ' ὁ ἐν τῇ ἡμετέρᾳ δῆμος; πρὸς τοὺς πολίτας, ἢ τοὺς ἄρχοντας φησὶν εἶναι; Σωτῆράς τε καὶ ὑπηκόους, ἔφη. Τί δ' ἕτοι τὸν δῆμον; Μισθοδότας τε καὶ τροφέας. Καὶ ἐν ταῖς ἄλλαις οἱ ἄρχοντες τοὺς δήμους; Δούλους, ἔφη. Τί δ' οἱ ἄρχοντες ἀλλήλους; Συνάρχοντας, ἔφη. Τί δ' οἱ ἡμέτεροι; Συμφύλακας. Ἔχεις οὖν εἰπεῖν τὸν ἄρχοντα ἐν ταῖς ἄλλαις πόλεσιν εἴπῃ τινα ἔχει προσειπεῖν τῶν συναρχόντων, τὸν μὲν, ὡς οἰκεῖον, τὸν δὲ, ὡς ἀλλότριον; Καὶ πολλούς γε. Οὐκοῦν, τὸν μὲν οἰκεῖον ὡς ἑαυτοῦ νομίζει τε καὶ λέγει, τὸν δ' ἀλλότριον, ὡς οὐχ ἑαυτοῦ. Οὕτω. Τί δὲ οἱ σοὶ φύλακες; ἆρ' ὅστις αὐτῶν ἔχοι ἂν τὸν συμ-

1 Ἔστι μοὶ που] Vide annon potius ſcribendum ſit ἔστι & in φυλάκων

parte condoluit. Atque idcirco homini dolere digitum dicimus. Eademque est de quavis alia parte hominis ratio: tum quæ dolore afficitur, tum quæ voluptate recreatur. Eadem ratio certe: & quod quæris, civitas quæ optime regitur, quam proxime ad hoc accedit. Quoties, ut arbitror, civium cuiquam boni aliquid, vel mali continget, talis utique civitas suum esse clamabit eum qui sic afficitur, atque ideo tota vel lætabitur una vel dolebit. Necesse est ut ita in civitate optimis legibus gubernata contingat. Sed hora jam est ut ad civitatem nostram redeamus, & quæ nunc inter nos constiterunt, exquiramus utrum civitati huic conveniant maxime, an alteri potius. Licet prorsus. Sunt & in aliis civitatibus principes & populus, & in ista similiter? Sunt. Atqui omnes isti cives sese mutuo appellabunt? Quidni? Sed præter civis nomen, quomodo in aliis civitatibus populus principes vocat? In *pluribus* quidem *dominos*, in *populari* autem *gubernatione*, *principes*. At nostræ civitatis populus, quomodo ultra civis nomen principes nuncupabit? Servatores auxiliariosque, inquit. Quo autem modo isti populum? Mercedis tributores & nutritores. Qui vero in aliis præsunt, populum? Servos, Principes ipsi se mutuo? Comprincipes. Nostri autem? Concustodes. Habesne quem nomines inter aliarum civitatum principes, qui ex collegis alium sibi propinquum, alium extraneum vocet? Equidem multos. Propinquum igitur tanquam suum & putat & dicit, extraneum vero, ut non suum. Plane. E vestris autem custostibus, estne ullus qui collegarum quempiam extraneum arbitre-

hoc, & duobus locis proxime sequentibus.

φυλάκων νομίσαι τινὰ ἢ προσειπεῖν ὡς ἀλλότριον; Οὐδαμῶς, ἔφη· παντὶ γὰρ ᾧ ἂν ἐντυγχάνῃ τις, ἢ ὡς ἀδελφῷ ἢ ὡς ἀδελφῇ, ἢ ὡς πατρὶ ἢ ὡς μητρὶ, ἢ ὡς υἱεῖ ἢ θυγατρί, ἢ τούτων ἐκγόνοις, ἢ προγόνοις, νομιεῖ ἐγτυγχάνειν. Κάλλιστα (ἦν δ' ἐγὼ) λέγεις· ἀλλ' ἔτι καὶ τόδε εἰπὲ, πότερον αὐτοῖς τὰ ὀνόματα μόνον οἰκεῖα νομοθετήσεις, ἢ καὶ τὰς πράξεις πάσας κατὰ τὰ ὀνόματα πράττειν, [1] περί τε τοὺς πατέρας ὅσα νόμος περὶ πατέρας, αἰδοῦς τε πέρι καὶ κηδεμονίας, καὶ τοῦ ὑπήκοον δεῖν εἶναι τῶν γονέων· ἢ μήτε πρὸς θεῶν μήτε πρὸς ἀνθρώπων αὐτῷ ἄμεινον ἔσεσθαι, ὡς οὔτε ὅσια οὔτε δίκαια πράττοντος ἂν, εἰ ἄλλα πράττοι ἢ ταῦτα· αὐταί σοι ἢ ἄλλαι φῆμαι ἐξ ἁπάντων τῶν πολιτῶν ὑμνήσουσιν εὐθὺς περὶ τὰ τῶν παίδων ὦτα καὶ περὶ πατέρων, οὓς ἂν αὐτοῖς τὶς ἀποφήνῃ, καὶ περὶ τῶν ἄλλων ξυγγενῶν. Αὖτη, ἔφη· γελοῖον γὰρ ἂν εἴη εἰ ἄνευ ἔργων οἰκεῖα ὀνόματα διὰ τῶν στομάτων μόνον φθέγγοιντο. Πασῶν ἄρα πόλεων μάλιστα ἐν αὐτῇ ξυμφωνήσουσιν, ἑνός τινος ἢ εὖ ἢ κακῶς πράττοντος· ὃ νῦν δὴ ἐλέγομεν τὸ ῥῆμα, τὸ, ὅτι τὸ ἐμὸν εὖ πράττει, ἢ ὅτι τὸ ἐμὸν, κακῶς. Ἀληθέστατα, ἦ δ' ὅς. Οὐκοῦν μετὰ τούτου τοῦ δόγματός τε καὶ ῥήματος ἔφαμεν ξυνακολουθεῖν τάς τε ἡδονὰς καὶ τὰς λύπας κοινῇ; Καὶ ὀρθῶς γε ἔφαμεν. Οὐκοῦν

1 Περὶ τε τοὺς Πατέρας] Officium colendi Parentes omnibus, præcipue vero *Remp.* gubernantibus, quorum ad exemplum subditi fere componuntur. Iras Deorum, Furias, hominum odia & contemptus dedere spreti Parentes, exemplum habemus in *Phœnice Homerico*, quem execravit iratus Pater

—— Πατὴρ δ' ἐμὸς αὐτίκ' ὀϊσθεὶς
Πολλὰ κατηρᾶτο στυγερὰς δ' ἐπικέκλετ' Ἐριννῦς.
—Θεοὶ δ' ἐτέλειον ἐπαρὰς
Ζεύς τε καταχθόνιος καὶ ἐπαινὴ Περσεφόνεια. Il. A.

Telemachus etiam noluit Matrem ejus *Penelopen* e domo ejicere, ne illum vexarent Furiæ, contemnerent Viri, &c.

——Ἀλλὰ δὲ δαίμων

μά-

tur ac vocet? Nullus. Cuicunque enim quis occurret, vel fratri, vel sorori, aut patri, aut matri, aut filio, aut filiæ, sive horum natis, seu majoribus putabit occurrere. Præclare loqueris: sed ad hoc quoque responde, utrum civibus tuis duntaxat nomina cognationis, lege impones, an præterea propinquitatis officia, ut videlicet ita se gerant, ut appellationis ipsius dignitas postulat, serventque erga parentes quæcunque lex exhiberi illis præcipit, reverentiam, curam, obedientiam: alioquin & deos & homines infensos habeant, utpote qui neque sancta, neque justa agant, si contra fecerint? Aliine in hac tua civitate sermones quam hi, cunctis ex civibus, protinus ad aures puerorum circunsonabunt, tum de parentibus (quoscunque illis quis indicaverit) tum de aliis genere proximis? Hi certe ipsi. Absurdum enim id esset, si cognationis nomina tantum ore, sine officio proferrentur. In hac igitur civitate maxime omnium, uno aliquo bene vel male affecto uno ore clamabunt omnes, quod modo dicebamus, *Meum* bene se habet, vel *meum* se habet male. Vera loqueris, Cum hac opinione ac verbis hujusmodi sequi dicebamus, ut & voluptates communes sint & dolores. Et recte quidem. In eo igitur maxime

Δώσει ἐπεὶ Μήτηρ στυγερὰς ἀρήσετ' Ἐριννῦς
Οἴκου ἀπερχομένη, Νέμεσις δὲ μοὶ ἐξ ἀνθρώπων,
Ἔσσεται.——

Contra vero Honores, Amor Deorum, vita longa, &c. præmia fuere Parentes colentibus. Unde Poeta

Βούλου γονεῖς περὶ παντὸς ἐν τιμαῖς ἔχειν
Γονεῖς δὲ τίμα·
Ἔλπιζε τοὺς τιμῶν γονεῖς πράξειν καλῶς.
Ἱκανῶς βιώσεις γηροβόσκων τοὺς γονεῖς
Νόμιζε σαυτῷ τοὺς γονεῖς εἶναι Θεούς.

Videndum quoque annon in initio hujus sententiæ legendum περί τε τοὺς ἄλλους καὶ περὶ τοὺς πατέρας.

nostri

μάλιστα τοῦ αὐτοῦ κοινωνήσουσιν ἡμῖν οἱ πολῖται, ὃ δὲ ἐμὸν ὀνομάζουσι· τούτου δὴ κοινωνοῦντες, οὕτω δὴ λύπης τε καὶ ἡδονῆς μάλιστα κοινωνίαν ἕξουσι. Πολύ γε. Ἆρ' οὖν τούτων αἰτία πρὸς τῇ ἄλλῃ καταστάσει, ἡ τῶν γυναικῶν τε καὶ παίδων κοινωνία τοῖς Φύλαξι; Πολυ μὲν οὖν μάλιστα, ἔφη. Ἀλλὰ μὴν μέγιστόν τε πόλει αὐτὸ ὡμολογήσαμεν ἀγαθὸν, ἀπεικάζοντες εὖ οἰκουμένην πόλιν σώματι πρὸς μέρος αὐτοῦ λύπης τε πέρι καὶ ἡδονῆς, ὡς ἔχει. Καὶ ὀρθῶς γ', ἔφη, ὡμολογήσαμεν. Τοῦ μεγίστου ἄρα ἀγαθοῦ τῇ πόλει αἰτία ἡμῖν πέφανται ἡ κοινωνία τοῖς ἐπικούροις τῶν τε παίδων καὶ τῶν γυναικῶν. Καὶ μάλ', ἔφη. Καὶ μὲν δὴ, καὶ τοῖς πρόσθεν γε ὡμολογοῦμεν· ἔφαμεν γάρ που οὔτε οἰκίας τούτοις ἰδίας δεῖν εἶναι, οὔτε γῆν, οὔτέ τι κτῆμμ, ἀλλὰ παρὰ τῶν ἄλλων τροφὴν λαμβάνοντας, μίσθον τῆς φυλακῆς, κοινῇ πάντας ἀναλίσκειν, εἰ μέλλοιεν ὄντως Φύλακες εἶναι. Ὀρθῶς, ἔφη. Ἆρ' οὖν οὐχ, ὅπερ λέγω, τά τε πρόσθεν εἰρημένα, καὶ τὰ νῦν λεγόμενα, ἔτι μᾶλλον, ἀπεργάζεται αὐτοὺς ἀληθινοὺς φύλακας, καὶ ποιεῖ μὴ διασπᾶν τὴν πόλιν, τὸ ἐμὸν ὀνομάζοντας, μὴ τὸ αὐτὸ, ἀλλ' ἄλλον ἄλλο; τὴν μὲν, εἰς τὴν ἑαυτοῦ οἰκίαν ἕλκοντα ὅ, τι ἂν δύνηται χωρὶς τῶν ἄλλων κτήσασθαι· τὴν δὲ, εἰς τὴν ἑαυτοῦ, ἑτέραν οὖσαν; καὶ γυναῖκά τε καὶ παῖδας ἑτέρους, ἡδονάς τε καὶ ἀλγηδόνας ἐμποιοῦντας, ἰδίων ὄντων ἰδίας; ἀλλ' ἑνὶ δόγματι τοῦ οἰκείου πέρι, ἐπὶ τὸ αὐτὸ τείνοντας πάντας εἰς τὸ δυνατὸν, ὁμοπαθεῖς [1] λύπης τε καὶ ἡδονῆς εἶναι· Κομιδῆ μὲν οὖν, ἔφη. Τί δέ; δικαί τε καὶ ἐγκλήματα πρὸς ἀλλήλους, οὐκ οἰχήσεται ἐξ αὐτῶν, ὡς ἔπος εἰπεῖν, διὰ τὸ μηδένα

1 Λύπης τε καὶ ἡδονῆς] Quos idem infortunium jungit conjunctos servat inde ut supra dixi pag. 116. quod asserit ἴδιον

noſtri cives invicem communicabunt, quod meum dicent: ex qua communione ſequetur, ut voluptates & dolores communes habeant. Penitus. Horum vero cauſa una cum reliqua civitatis conſtitutione, eſt ipſa cuſtodum circa mulieres filioſque communio. Sic eſt omnino. Enimvero ſummum hoc civitati bonum eſſe confeſſi ſumus, cum civitatam recte gubernatam ſimilem eſſe diceremus corporis, cum ſingulis partibus ſuis circa voluptatem & dolorem quoquo modo communicantis. Et merito quidem conceſſimus. Maximi itaque boni cauſa civitati nobis patuit eſſe ipſa inter auxiliarios mulierum liberorumque communio. Valde. Atqui & ſuperioribus hæc conſonant. Diximus enim neque domos proprias his eſſe debere, neque agros neque poſſeſſionem aliquam, ſed ab aliis accipere nutrimenta, mercedem cuſtodiæ, & communiter omnes conſumere, ſi veri cuſtodes futuri ſunt. Probe. Nonne quod ipſe aio, & quæ ſupra, & quæ nunc dicta ſunt, maxime faciunt, ut veri hi cuſtodes evadant, neque diſtrahant civitatem, dum *meum* dicant non idem omnium, ſed aliorum aliud eſſe, & alius in propriam domum trahat quodcunque ſeorſum ab aliis uſurpare voluerit, alius in ſuam ab aliis diverſam domum: & ex propriis mulieribus ac liberis diverſi diverſis lætuntur & dodoleant: imo vero ut ex una proprii ejuſdem omnium ſententia, in idem tendentes omnes quoad ſimilibus voluptatibus, & doloribns iiſdem, ſi quid accidat, afficiantur? Maxime. Quid autem judiciorum controverſiæ accuſationeſque mutuæ, nonne ceſſabunt omnes, quandoquidem nec propri-

Hobbes verum eſſe. Oriuntur *Reſpublicæ* & omnes hominum | Societates a *Mutuo Metu.*

um

ἴδιον ἐκτῆσθαι πλὴν τὸ σῶμα, τὰ δ' ἄλλα κοινά; ὅθεν δὴ ὑπάρχει τούτοις ἀστασιάστοις εἶναι, ὅσά γε διὰ χρημάτων ἢ παίδων ἢ ξυγγενῶν κτῆσιν ἄνθρωποι στασιάζουσι. Πολλὴ ἀνάγκη, ἔφη, ἀπηλλάχθαι. Καὶ μὴν οὐδὲ βιαίων γε οὐδ' αἰκίας δίκαι δικαίως ἂν εἶεν ἐν αὐτοῖς, ἥλιξι μὲν γὰρ ἥλικας ἀμύνεσθαι, καλὸν καὶ δίκαιόν που φήσομεν, ἀνάγκη σωμάτων ἐπιμέλειαν τιθέντες. Ὀρθῶς, ἔφη· καὶ γὰρ τόδε ὀρθὸν ἔχει, ἦν δ' ἐγὼ, οὗτος ὁ νόμος· εἴπου τίς γε θυμοῖτο, ἐν τῷ τοιούτῳ πληρῶν τὸν θυμὸν, ἧττον ἐπὶ μείζους ἂν ἴοι στάσεις. Πάνυ μὲν οὖν. [1] Πρεσβυτέρῳ μὲν νεωτέρων πάντων ἄρχειν τε καὶ κολάζειν προστετάξεται. Δῆλον. Καὶ μὴν ὅτι γε νεώτερος πρεσβύτερον, ἂν μὴ ἄρχοντες προστάττωσιν, οὔτε ἄλλως βιάζεσθαι ἐπιχειρήσει ποτὲ, οὔτε τύπτειν, ὡς τὸ εἰκός· οἶμαι δ' οὐδὲ ἄλλως ἀκμάσει· ἱκανὼ γὰρ τὼ φύλακε κωλύοντε, δέος τε καὶ αἰδώς· αἰδὼς μὲν ὡς γονέων μὴ ἅπτεσθαι εἴργουσα· δέος δὲ, τὸ τῷ πάσχοντι τοὺς ἄλλους βοηθεῖν· τοὺς μὲν, ὡς υἱεῖς· τοὺς δὲ, ὡς ἀδελφούς· τοὺς δὲ, ὡς πατέρας. Ξυμβαίνει γὰρ οὕτως, ἔφη. Πανταχῇ δὴ ἐκ τῶν νόμων εἰρήνην πρὸς ἀλλήλους οἱ ἄνδρες ἕξουσι. Πολλήν γε. Τούτων μὴν ἐν ἑαυτοῖς μὴ στασιαζόντων, οὐδὲν δεινὸν μή ποτε ἡ ἄλλη πόλις πρὸς τούτους ἢ πρὸς ἀλλήλους διχοστατήσῃ. Οὐ γὰρ οὖν. Τά γε μὴν σμικρότατα τῶν κακῶν, δι' ἀπρέπειαν ὀκνῶ καὶ λέγειν, ὧν ἀπηλλαγμένοι ἂν εἶεν· κολακείας τε

1 Πρεσβύτερῳ μὲν νεωτέρων] Seniores a Junioribus in summo honore habebantur, & ut ait *Juvenalis*

—*Venerabile erat præcedere quatuor annis.*

Apud antiquissimos nec generi nec pecuniæ præstantior honos tribui quam ætati *solitus*: Majoresque Natu *a* Minoribus *cole-*

πλουσίων

um quicquam præter corpus quiſquam habebit, reliqua vero communia? Unde ſequitur; ſine ſeditione illos fore, quantum ad eas lites attinet, quæ pecuniarum, vel filiorum, vel propinquorum cauſa oriri ſolent. Neceſſe eſt omnino hæc abeſſe. Quin neque de vi illata uſquam contendetur. Nempe aſſeremus honeſtum & æquum eſſe, ut æqualem æqualis ab injuria arceat, tutandorum corporum provinciam imponentes. Probe. Atqui & hoc rectum lex hæc continet, quod ſi quis alicui iraſcatur, iramque explere contendat, minus ad majores excitabitur ſeditiones. Sic eſt prorſus. Seniorem quippe lex noſtra conſtituet præeſſe omnibus junioribus, eoſque corrigere. Perſpicuum id quidem. Conſtat præterea quod junior ſeniorem niſi juſſu principum aut alio modo violare conabitur, nunquam, neque cædere, ut decens eſt, neque ignominia ulla afficere. Metus nanque & pudor cuſtodes ſunt ad hæc prohibenda ſufficientes. Pudor quidem non permittet eos quos parentes ſuſpicantur, violare. Metus autem ab injuria abſterrebit quenque, timentem ſcilicet ne cæteri omnes, partim ut filii, partim ut fratres, partim ut patres oppreſſo ſuccurrant. Ita prorſus accidit. Omnino igitur ex his legibus cives invicem in pace vitam agent. Summopere. His autem inter ſe minime diſſidentibus, haud metuendum eſt nequando civitas alia vel adverſus hos, vel ipſi inter ſe pugnent ſeditioneſque moveant. Non certe. Pudet referre, quia minus deceat, minutiſſima quæque mala a quibus liberi cives erunt. Adulationes certe aberunt, quibus adverſus divites, inopes uti ſolent. Sollicitudines item indigentium at-

bantur ad Deorum prope & parentum vicem: Gellius lib. 2. cap. 15. Καὶ ὑμᾶς ἦ ὦ παῖδες (inquit *Cyrus* Moriens) ὅπως ἐξ ἀρχῆς παιδίνων τὺς μὲ γεραιτέρους σεβησθε, τὴ ὃ νεωτέρων σεβεσθαι. Xenop. lib. 8. & inter peſſimas afflictiones hoc enumerat *Jeremias*, quod πρεσβύτερους οὐκ ἐδοξάσθησαν. Lam. c. 5. v. 12.

que

πλουσίων πένητες, ἀποδείας τε καὶ ἀλυπδόνας ὅσας ἐν παιδοτροφίαις καὶ λειμαπισμοῖς ἀφ' τροφεῖ οἰκετῶν ἀναγκαίαν ἴσχυσι, τὰ μὲν, δανειζόμενοι· τὰ δὲ, ἐξαρνούμενοι· τὰ δὲ πάντως ποιεισάμενοι, θέμενοι παρὰ γυμναῖκάς τε καὶ οἰκέτας, τὰμβύειν ἀδολόντες· ὅσά τε, ὦ Φίλε, περὶ αὐτὰ, καὶ οἷα πάσχουσι δεινὰ τε καὶ ἀγεννῆ, καὶ ἂν ἄξια λέγειν. Δῆλα γὰρ, ἔφη, καὶ τυφλῷ. Πάντων τε δὴ τούτων ἀπαλλάττον, ζήσουσί τε ἅμα μακαιστὸν βίου ὧν οἱ Ὀλυμπονίκαι ζῶσι, μακαριώτερον. Πῇ; Διὰ σμικρόν που μέρος εὐδαιμονίζον ἐκεῖνοι, ὧν τούτοις ὑπάρχει. ἥ τε γὰρ τῶνδε νίκη, καλλίων· ἥ τ' ἐκ τοῦ δημοσίου τροφὴ, τελεωτέρα· νίκῃ τε γὰρ νικῶσι ξυμπάσης τὸ πόλεως σωτηρίαν· τροφῇ τε καὶ τοῖς ἄλλοις πᾶσιν ὅσων βίος δεῖται, αὐτοί τε καὶ παῖδες ἀναδοῦνται, καὶ γέρα δέχονται παρὰ τῶν αὐτῶν πόλεως, ζῶντες, καὶ τελευτήσαντες, ταφῆς ἀξίας μελέχουσι. Καὶ μάλα, ἔφη, καλά. Μέμνησαι οὖν (ἦν δ' ἐγὼ) ὅτι ἐν τοῖς πρόσθεν, οὐκ οἶδα ὅτου λόγος ἡμῖν ἐπέπληξεν ὅτι τοὺς φύλακας οὐκ εὐδαίμονας [2] ποιοῖμεν· οἷς ἐξὸν πάντα ἔχειν τὰ τῶν πολιτῶν, οὐδὲν ἔχοιεν· ἡμεῖς δὲ εἴπομεν ὅτι τοῦτο μὲν, εἰ που εὐδαίμονες, εἰσαῦθις σκεψόμεθα· νῦν δὲ, τοὺς μὲν φύλακας, φύλακας ποιοῖμεν, τὸ δὲ πόλιν ὡς οἷοί τ' ἐσμὲν εὐδαιμονεστάτην· ἀλλ' οὐκ εἰς ἓν ἔθνος ἀποβλέποντες ἐν αὐτῇ, τοῦτο τὸ εὔδαιμον πλάττοιμεν. Μέμνημαι, ἔφη. Τί οὖν νῦν ἡμῖν ὁ τῶν ὀπτικούρων βί-

1 Οἱ Ὀλυμπονῖκαι Ζῶσι] E quatuor Græcis certaminibus optimum erat *Olympicum*.

Μήδ' Ὀλυμπίας ἀγῶνα
Φέρτερον αὐδάσομεν.

inquit *Pindarus* Ὀλύμπ. α. & qui vicerat illo in certamine, Felicissimus, Divinus, & tantum non habebatur Deus. Imo etiam Parentes ejus, affines, Liberi præ aliis æstimati sunt, & Natalis ejus Locus ante alios felix. Coronatus vi-

os,

que dolores, quibus in filiis nutriendis, quærendiſque pecuniis propter neceſſariam domeſticorum nutritionem vexantur, dum & fœnoribus dant operam, & negant quæ acceperunt, & quæſtui undecunque ſtudent. Seponunt præterea apud mulieres miniſtroſque permulta quæ ad tempus condantur. Nam quam multa, & qualia in iis homines patiuntur, ô amice, & ipſa ſervilia, & illiberalia ſunt, & indigna narratu. Patent plane vel cæco. Porro ab his omnibus liberi erunt, vitamque agent beatiorem beatiſſima illa eorum vita qui vicerunt *Olympia*. Qua ratione? Nempe illi ob exiguam eorum quæ hi poſſident partem, beati putantur. Nam & victoria horum præclarior, & perfectior ex publico alimonia: horumque victoria, civitatis totius eſt ſalus. Alimenta præterea & quæcunque ad victum neceſſaria ipſi eorumque filii coronationis loco accipiunt. Honores inſuper & præmia ab ipſa repub. viventes conſequuntur, & vita functi digna ſepulchrorum ſuis virtutibus monimenta. Hæc certe egregia admodum ſunt. Meminiſti quod in ſuperioribus neſcio cujus oratio nobis objecit, tanquam cuſtodes minime beatos efficeremus? utpote qui nihil haberent, cum tamen liceret illis civium omnia poſſidere. Ipſi autem reſpondimus, in poſterum nos ſicubi contigerit, conſideraturos. Nam in præſentia cuſtodes quidem, revera cuſtodes facere nos, civitatem vero quoad poſſemus beatiſſimam: neque ad unam quandam ejus partem, ſed ad totam reſpicientes, beatitudinem illam exquirere. Memini equidem. Nunc certe auxiliariorum vita, quando longe præclarior ac melior,

ctor publico ſumptu in poſterum alebatur, prima ſede & publice & private honeſtatus, omnibus adoratus, Bonis charus, inter quos (quod maximum eſſe duco) ſine invidia vivebat vitam.

2 Φύλακας ποιοῖμεν] Ex veteri Editione legitur ποιῶμεν, ſed legendum itidem fuerit πλάττωμεν pro πλάττοιμεν paulo infra.

quam

ος, ὅσπερ τοῦ γε τῶν ὀλυμπιονικῶν πολύ τε καλλίων καὶ ἀμείνων φαίνεται; μή πη κατὰ τὸν τῶν σκυτοτόμων φαίνεται βίον, ἤ τινων ἄλλων δημιουργῶν, ἢ τὸν τῶν γεωργῶν; Οὔ μοι δοκεῖ, ἔφη. Ἀλλὰ μέντοι, ὅγε καὶ ἐκεῖ ἔλεγον, δίκαιον καὶ ἐνταῦθα εἰπεῖν, ὅτι εἰ οὕτως ὁ φύλαξ ἐπιχειρήσει εὐδαίμων γίγνεσθαι ὥστε μηδὲ φύλαξ εἶναι, μηδ' ἀρκέσει αὐτῷ βίος οὕτω μέτριος καὶ βέβαιος, καὶ, ὡς ἡμεῖς ἔφαμεν, ἄριστος, ἀλλ' ἀνόητός τε καὶ μειρακιώδης δόξα ἐμπεσοῦσα εὐδαιμονίας πέρι, ὁρμήσει αὐτὸν διὰ δύναμιν ἐπὶ τὸ ἅπαντα τὰ ἐν τῇ πόλει οἰκειοῦσθαι, γνώσεται [1] τὸν Ἡσίοδον ὅτι τῷ ὄντι ἦν σοφὸς, λέγων,--πλέον εἶναί (πως) ἥμισυ παντός. Ἐμοὶ μὲν, ἔφη, συμβούλῳ χρώμενος μενεῖ ἐπὶ τούτῳ τῷ βίῳ. Συγχωρεῖς ἄρα (ἦν δ' ἐγὼ) τὴν τῶν γυναικῶν κοινωνίαν τοῖς ἀνδράσιν ἦν διεληλύθαμεν παιδείας τε πέρι καὶ παίδων καὶ φυλακῆς τῶν ἄλλων πολιτῶν; κατά τε πόλιν μενούσας, εἰς πόλεμόν τε ἰούσας, καὶ ξυμφυλάττειν δεῖν καὶ ξυνθηρεύειν ὥσπερ κύνας, καὶ πάντα πάντη κατὰ τὸ δυνατὸν κοινωνεῖν; καὶ ταῦτα πραττούσας, τά τε βέλτιστα πράξειν, καὶ οὐ παρὰ φύσιν τὴν τοῦ θήλεος πρὸς τὸ ἄρρεν, ᾗ πεφύκατον πρὸς ἀλλήλω κοινωνεῖν; Συγχωρῶ, ἔφη. Οὐκοῦν, ἦν δ' ἐγὼ, ἐκεῖνο λοιπὸν διελέσθαι, εἰ ἄρα καὶ ἐν ἀνθρώποις δυνατὸν, ὥσπερ ἐν ἄλλοις ζώοις, ταύτην τὴν κοινωνίαν ἐγγενέσθαι, καὶ ὅπῃ δυνατόν; Ἔφθης (ἔφη) εἰπὼν ὃ ἔμελλον ὑπολήψεσθαι. Περὶ μὲν γὰρ τῶν ἐν τῷ πολέμῳ, οἶμαι (ἔφην) δῆλον ὃν τρόπον πολεμήσουσι. Πῶς; ἦ δ' ὅς. Ὅτι κοινῇ στρατεύσονται, καὶ πρός γε ἄξουσι τῶν

[1] Τὸν Ἡσίοδον] Νήπιοι οὐκ ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός. Ἔργ. καὶ ἡμέρ. A. id est *vivitur parvo melius*, quæ postrema Oraculi loco habita sunt a *Cowley* nostro.

παί-

quam eorum qui *Olympia* vincunt, apparet, nequaquam coriariorum, aut aliorum artificum, aut agricultorum vitæ ſimilis eſſe videtur. Non certe, ut & ipſe arbitror. Veruntamen quod & ſupra dixi, par eſt ut hic repetam: quod ſi ita cuſtos beatus fieri ſtudeat, ut non ſit cuſtos, neque ſufficiat ipſi vita adeo moderata & ſtabilis, ut nos aſſerimus optima: ſed inſana & puerilis exorta felicitatis opinio, rapiat eum ob ipſam potentiam ad omnia quæ in civitate ſunt ſibi vendicanda: cognoſcet *Heſiodum* ſapienter illud dixiſſe, *Dimidium eſſe plus quam totum.* Si me conſultore utetur, hac in vita manebit. Probas igitur communionem, quam mulieribus cum viris tribuimus, quo ad diſciplinam, liberorum ſuſceptionem, cuſtodiam aliorum civium ut una cum viris in civitate maneant, in bello militent, cuſtodiant una, & canum inſtar venentur, omniumque officiorum omnino quoad fieri poteſt, participes ſint. Ac dum hæc agunt, optima agere illas concedis neque contra naturam fœminæ, qua inſtituta eſt ut cum mare communicet. Probo equidem. Nonne reſtat deinceps ut id declaremus, utrum eſſe poſſit hæc in hominibus quemadmodum in reliquis animalibut communio, & quo pacto poſſit. Occupaviſti quod ego interrogaturus eram. De re quidem bellica manifeſtum eſſe arbitror, quo pacto eam tractabunt. Quonam pacto? Militabunt profecto communiter, ducentque adultos liberos ſecum

2 Οὐκοῦν ἐκεῖνο λοιπὸν] Leges de re bellica, quomodo ad nam aſſueſcendi ſunt pueri. & quæ præmia tribuenda &c. ſequuntur.

παίδων εἰς τ πόλεμον ὅσοι ἀρροί· ἵν' ὥσωρ οἱ τῶν ἄλλων δημιουργῶν θεῶν) ταῦτα ἃ τελεωθέντας δεήσῃ δημιουργεῖν· πρὸς δὲ τῇ θέᾳ, ἀφικνεῖν καὶ ὑπηρετεῖν πάντα τὰ περὶ τὸν πόλεμον, καὶ θεραπεύειν πατέρας τε καὶ μητέρας· ἢ σὺκ ἠσθησαι τὰ περὶ τὰς τέχνας; οἷον τὰς τ κεραμέων παῖδας, ὡς πολλοῦ χρόνου ἀφικνοῦνται θεωροῦσι, πρὶν ἅπτεσθαι τ κεραμεύειν; Καὶ μάλα. Ἦ οὖν ἐκείνοις ὀπτέον παιδευτέον ἢ τοῖς φύλαξι τὰς αὐτῶν, ἐμπειρίᾳ τε καὶ θέᾳ τ πρόσθεν; Καταγέλαστον μὲν τ' ἄν (ἔφη) εἴη. Ἀλλὰ μὴν καὶ μαχεῖταί γε πᾶν ζῷον ἀφερόντως παρόντων ὧν ἂν τέκῃ. Ἔστιν οὕτω. Κίνδυνος ἦ, ὦ Σώκρατες, ἂν σμικρὸς σφαλεῖσιν, (οἷα δὴ ἐν πολέμῳ φιλεῖ) πρὸς ἑαυτοῖς παῖδας ἀπολέσαντας, ποιῆσαι καὶ τῷ ἄλλῳ πόλιν ἀδύνατον ἀναλαβεῖν. Ἀληθῆ (ἦ δ' ἐγὼ) λέγεις· ἀλλὰ σὺ πρῶτον μὲν ἡγῇ πρέπειν σκοπεῖσθαι τὸ μὴ πολεμικοὺς κινδυνεύσαι. Οὐδαμῶς. Τί δ' εἴ μέ κινδυνευτέον, σὺκ ἐν ᾧ βέλτιστ' ἔσονται καταστάντες; Δῆλον δή. Ἀλλὰ σμικρὸν οἴει ἀφέρειν, καὶ σὺκ ἄξιον κινδύνου, θεωρεῖν ἢ μὴ τὰ περὶ τ πόλεμον τοὺς παῖδας, τοὺς ἄνδρας πολεμικοὺς ἐσομένους; Οὐκ· ἀλλὰ ἀφέξῃ πρὸς ὃ λέγεις. Τοῦτο μὲν ἆρα ὑπαρκτέον, θεωροὺς πολέμου τοὺς παῖδας ποιεῖν, προσμηχανᾶσθαι δ' αὐτοῖς ἀσφάλειαν· καὶ καλῶς ἕξει· ἦ γάρ; Ναί. Οὐκοῦν (ἦ δ' ἐγὼ) πρῶτον μὲν αὐτῶν οἱ παλαιοί, ὅσα ἄνθρωποι, σὺκ ἀμαθεῖς ἔσονται, ἀλλὰ γνωμονικοὶ τ καλῶν ὅσαι τε καὶ μὴ ὀπικίνδυνοι. Εἰκός, ἔφη. Εἰς μὲν ἆρα τὰς ἄξιν, εἰς δὲ τὰς, βλαβήσονται. Ὀρθῶς. Ἀρχοντας γέ που (ἦν δ' ἐγὼ) ἂν τοὺς φαυλοτάτους αὐτοῖς ὀπιστήσομεν, ἀλλὰ τοὺς ἐμπειρίᾳ τε καὶ ἡλικίᾳ ἱκανοὺς ἡγεμόνας τε καὶ παιδαγωγοὺς εἶναι.

Πρέπει

ad prælium: ut quemadmodum aliorum opificum filii, & hi patrum ſuorum opera cernant, quæ ipſi quoque cum ad maturam ætatem petvenerint, effecturi ſunt, atque inſuper ut parentibus auxilio ſint, miniſtrentque omnia quæ ad bellum ſpectent, patreſque & matres curent. An non animadvertiſti quod in artibus accidit, veluti quandiu figulorum filii fingentes patres ſpectant, eiſque miniſtrant, antequam manum operi adjiciant? Maxime. Nunquid diligentius illi quam cuſtodes filios ſuos erudire debent peritia & inſpectione operum cuique convenientium? Ridiculum id quidem eſſet. Quinetiam omne genus animantium natis præſentibus ardentius pugnat. Eſt ita, verum periculum eſt maximum, ô *Socrates*, ne ſi forte, ut accidit in bello, ſors adverſa contigerit, filios quoque ſecum perdant, ex quo civitas alia inſtaurari nequeat. Vera loqueris. Sed tu forſitan inprimis ita ſe comparare quenque oportere exiſtimas, ut nullum unquam periculum ſubeat. Nullo modo. Quid? Nonne tunc in diſcrimen veniendum, ut ibi qui ſe egregie geſſerint, præſtantiores evadent? Perſpicuum eſt. Num parum intereſſe cenſes, indignumve quod propter periculum ſuſcipiatur, ut ſpectent, vel non ſpectent res bellicas pueri, qui milites futuri ſunt? Imo vero referre ad id quod ais. Danda igitur opera eſt, ut bellum pueri ſpectent, & qua ratione tuti ſint, excogitandum, atque ita recte fiet. Nempe. Principio parentes eorum haudquaquam ignari erunt, ſed quoad hominibus conceſſum eſt, ad diſcernendum perſpicaces quibus in caſtris periculum inſit, quibus non inſit periculum. Veriſimile id quidem. Ad tutiora itaque ducent eos, ad alia minime. Probe. Deinde rectores illis præficient, non ignaviſſimos quoſque, ſed homines & uſu rerum & ætate idoneos duces & pædagogos. Ita decet. Verum multa di-

Πρέπει γάρ. Ἀλλὰ γὰρ (φήσομεν) καὶ παρὰ δόξαν πολλὰ πολλοῖς δὴ ἐγένετο. Καὶ μάλα. Πρὸς τοίνυν τὰ τοιαῦτα, ὦ φίλε, πτεροῦν χρὴ παιδία ὄντα εὐθὺς, ἵν' ἄν τι δέῃ πετόμενοι ἀποφεύγωσι. Πῶς λέγεις; ἔφη. Ἐπὶ τοὺς ἵππους (ἦν δ' ἐγὼ) ἀναβιβαστέον ὡς νεωτάτους καὶ διδαξομένους [1] ἱππεύειν ἐφ' ἵππων, ἀκτέον ἐπὶ τὴν θέαν μὴ θυμοειδῶν μηδὲ μαχητικῶν, ἀλλ' ὅτι ποδωκεστάτων καὶ εὐηνιωτάτων· οὕτω γὰρ κάλλιστά τε θεάσονται τὸ αὐτῶν ἔργον, καὶ ἀσφαλέστατα, ἄν τι δέῃ, σωθέσονται, μετὰ πρεσβυτέρων ἡγεμόνων ἑπόμενοι. Ὀρθῶς (ἔφη) μοὶ δοκεῖς λέγειν. Τί δὴ (εἶπον) τὰ περὶ τὸν πόλεμον; πῶς ἀκτέον σοὶ τοὺς στρατιώτας πρὸς αὐτούς τε καὶ τοὺς πολεμίους; ἆρ' ὀρθῶς μοὶ καταφαίνεται, ἢ οὔ; Λέγ', ἔφη, ποῖον. [2] Αὐτῶν μὲν (εἶπον) τὸν λιπόντα τάξιν, ἢ ὅπλα ἀποβαλόντα. ἤ ὅτι τῶν τοιούτων ποιήσαντα διὰ κάκην, ἆρα οὐ δημιουργὸν τινα δεῖ καθιστάναι, ἢ γεωργόν; Πάνυ μὲν οὖν. Τὸν δὲ ζῶντα εἰς τοὺς πολεμίους ἁλόντα, ἆρ' οὐ δωρεὰν διδόναι τοῖς θέλουσι χρῆσθαι τῇ ἄγρᾳ ὅ, τι ἂν βούλωνται; Κομιδῆ γε. Τὸν δὲ ἀριστεύσαντά τε δὲ εὐδοκιμήσαντα οὐ πρῶτον μὲν ἐπὶ στρατείας ὑπὸ τῶν συστρατευομένων μειρακίων τε καὶ παίδων ἐν μήρει ὑπὸ ἑκάστου δοκεῖ σοι χρῆναι στεφανωθῆναι; ἢ οὔ; Ἔμοιγε. Τί δέ; δεξιωθῆναι; Καὶ τοῦτο. Ἀλλὰ τόδ' οἶμαι (ἦν δ' ἐγὼ) οὐκέτι σοὶ δοκεῖ. Τὸ ποῖον; Τὸ φιλῆσαί τε καὶ φιληθῆναι ὑπὸ ἑκάστου. Πάντων (ἔφη)

1 Ἱππεύειν ἐφ' ἵππων] Ἐφ' ἵππων male jungitur cum ἱππεύειν, totus enim locus ita est legendus, ἐπὶ τοὺς ἵππους (ἦν δ' ἐγὼ) ἀναβιβαστέον ὡς νεωτάτους, καὶ διδαξομένους ἱππεύειν, ἐφ' ἵππων ἀκτέον ἐπὶ τὴν Θέαν. Id est, *Jam prima à pueritia tollendi sunt in equis: ducendique in equis ad belli spectaculum, ut eas equitares doceamus.* At *Ficinus* nec eadem verba repræsentat, & participium illud aliter legit. Ita reddens, *Equitare consue-*

μάλι-

cemus præter opinionem multis hominibus eveniſſe. Et maxime quidem. Horum cauſa, ô amice, ſtatim a teneris annis alæ quædam applicandæ puerulis, ut ſiquando opus fuerit, volantes protinus aufugiant. Quomodo iſtud ais? Imponendi ſunt equis, ut ſtatim a pueris equitare diſcant, & ducendi ad ſpectaculum in equos non feroces quidem, aut nimium bellicoſos, ſed quam velociſſimos, & habenis facile obſequentes, atque ita commodiſſime opus ſuum proſpicient, ſecuriſſimeque evadent ſiquid adverſi contigerit, ſeniores duces ſequentes. Scite admodum loqui mihi videris. Quid de his quæ ad bellum attinent, dicendum? Quæ ſervanda militibus inter ſe & adverſus hoſtes? Nunquid recte ſentio, necne. Quidnam? arbitror eum qui in acie ordinem deſeruit, vel arma abjecit, vel tale aliquid propter timiditatem commiſit, ad opificum ordinem vel agricultorum eſſe tranſmittendum. Sic decet. Eum vero qui vivus ab hoſtibus captus fuerit, etiam gratis reddere volentibus, relinquendum, ut præda quomodocunque libet, utantur. Omnino. Qui autem egregie ſeſe gerens excelluerit, primo quidem in ipſa expeditione ab iis qui una militant adoleſcentibus ac pueris, ſigillatim a quolibet coronandus, nonne tibi videtur? Mihi vero. Quid? nonne & dextras jungere illi debebunt? Et hoc præterea tibi forſitan non videtur? Quid? Ut oſcula a quo-

ſcant primis ab annis pueri: quumque hoc didicerint, equis ad ſpectaculum belli ducentur, Neque enim hic διδαξαμένους, ſed διδαξομένους ſcribitur. Quod ſi legerat διδαξαμένους in ſuo exemplari, vertere potius debuerat, *Poſtquam docuerimus illos equitare.* Stephanus.

2 Αὐτῶν μᾶ(λλον)] Lege potius αὐτὸν, *Solonis* lex de hac re ita ſe habet. Fiat Ἀπρο- quicunque ſcutum abjecerit.

μάλιστα· καὶ προστίθημί γε τῷ νόμῳ, ἕως ἂν ἐπὶ ταύτης ὦσι τῆς στρατείας, μηδενὶ ἐξεῖναι ἀπαρνηθῆναι ὃν ἂν βούληται φιλεῖν· ἵνα καὶ ἐάν τις τοῦ τύχῃ ἐρῶν ἢ ἄρρενος ἢ θηλείας, προθυμότερος ᾖ πρὸς τὸ τἀριστεῖα φέρειν. Καλῶς, ἦν δ' ἐγώ. ὅτι μὲν γὰρ ἀγαθῷ ὄντι γάμοι τε ἕτοιμοι πλείους ἢ τοῖς ἄλλοις, καὶ αἱρέσεις τῶν τοιούτων πολλάκις παρὰ τοὺς ἄλλους ἔσονται, ἵν' ὅτι πλεῖστοι ἐκ τοῦ τοιούτου γίγνωνται, εἴρηται ἤδη. Εἴπομεν γὰρ, ἔφη. Ἀλλὰ μὴν καὶ καθ' Ὅμερον τοῖς τοιοῖσδε δίκαιον τιμᾷν τῶν νέων ὅσοι ἀγαθοί· καὶ γὰρ Ὅμηρος τὸν εὐδοκιμήσαντα ἐν τῷ πολέμῳ, νώτοισιν Αἴαντα ἔφη διηνεκέεσσι γεραίρεσθαι· ὡς ταύτην οἰκείαν οὖσαν τιμὴν τῷ ἡβῶντί τε καὶ ἀνδρείῳ, ἐξ ἧς, ἅμα τῷ τιμᾶσθαι, καὶ τὴν ἰσχὺν αὐξήσει. Ὀρθότατα, ἔφη. Πεισόμεθα ἄρα (ἦν δ' ἐγὼ) ταυτά γε Ὁμήρῳ· καὶ γὰρ ἡμεῖς ἔν τε θυσίαις καὶ τοῖς τοιούτοις πᾶσι τοὺς ἀγαθοὺς, καθόσον ἂν ἀγαθοὶ φαίνωνται, καὶ ὕμνοις, καὶ οἷς νῦν δὴ ἐλέγομεν, τιμήσομεν· πρὸς δὲ τούτοις, ἕδραις τε, καὶ κρέασιν, —ἰδὲ πλείοις δεπάεσσιν· ἵνα ἅμα τῷ τιμᾷν, ἀσκῶμεν τοὺς ἀγαθοὺς ἄνδρας τε καὶ γυναῖκας. Κάλλιστα (ἔφη) λέγεις. Εἶεν. Τῶν δὲ δὴ ἀποθανόντων ἐπὶ στρατείας, ὃς ἂν εὐδοκιμήσας τελευτήσῃ, ἆρ' οὐ πρῶτον μὲν φήσομεν τοῦ χρυσοῦ γένους εἶναι; Πάντων γε μάλιστα. Ἀλλ' οὐ πεισόμεθα Ἡσιόδῳ; ἐπειδὰν τινὲς τοῦ τοιούτου γένους τελευτήσωσιν, ὡς ἄρα

Οἱ μὲν, δαίμονες ἁγνοὶ ἐπιχθόνιοι τελέθουσιν,
Ἐσθλοὶ, ἀλεξίκακοι, φύλακες μερόπων ἀνθρώπων.

Πεισόμεθα μὲν οὖν. Διαπυθόμενοι ἄρα τοῦ θεοῦ πῶς χρὴ τοὺς δαιμονίους τε καὶ θείους τιθέναι, καὶ τίνι διαφόρῳ, οὕτω καὶ ταύτῃ θήσομεν ᾗ ἂν ἐξηγῆται. Τί δ' οὐ μέλλομεν; Καὶ τὸν λοιπὸν δὴ χρόνον, ὡς δαιμό-

νων

libet accipere debeat ac dare. Imo vero maxime omnium. Atqui & legi huic addendum existimo, ut quoad in ea expeditione fuerint, nemini renuere liceat, quencumque oscular ipse desideraverit, ut si quis alicujus amore captus fuerit vel maris vel fœminæ, acrior sit ad victoriam consequendam. Præclare: nam quod nuptiæ strenuis viris facilius paratæ quam aliis, & cooptiones frequentiores erunt, ut quam plurimi ex his nascantur, jam dictum est. Diximus certe. Etenim secundum *Homerum* ejusmodi juvenes justum est maxime honorare. Nam ipse *Ajacem* bello præcellentem, dixit assiduis ab humeris honoratum, quasi hic pubescenti homini ac forti conveniens sit honor, ex quo cum honore simul & robur augeatur. Recte admodum. In his ergo *Homero* parebimus. Etenim nos in sacris cæterisque hujusmodi viros bonos quo magis boni videbuntur eo magis & hymnis, & his quæ modo diximus, honestabimus, sedibus item & carnibus, plenisque pateris, ut & honoremus una viros præstantes mulieresque & exerceamus. Bellissime loqueris. Eum vero qui in militia quum strenue gesserit, obiit, primum aurei generis esse dicemus. Maxime omnium. Deinde *Hesiodo* fide adhibita, asseremus, quicunque hoc ex genere decedunt è vita,

Dæmones effici sanctos terrestres,

Optimos, expulsores malorum, custodesque mortalium.

Ita certe credemus. Consulemus ergo oraculum, quo pacto beatos divinosque viros condere deceat, & quibus insignibus præcipue dedecorare, atque ita condemus ut jusserit.

νων, οὕτω θεραπεύσομέν τε καὶ προσκυνήσομεν αὐτῶν τὰς θήκας· ταῦτα δὲ ταύτῃ νομιοῦμεν ὅταν τὶς γήρᾳ ἤ τινι ἄλλῳ τρόπῳ τελευτήσῃ τῶν ὅσοι ἂν διαφερόντως ἐν τῷ βίῳ ἀγαθοὶ κριθῶσι. Δίκαιον γοῦν, ἔφη. Τί δέ; πρὸς τοὺς πολεμίους πῶς ποιήσουσιν ἡμῖν οἱ στρατιῶται; Τὸ ποῖον δή; Πρῶτον μὲν ἀνδραποδισμοῦ πέρι, δοκεῖ δίκαιον Ἕλληνας Ἑλληνίδας πόλεις ἀνδραποδίζεσθαι, ἢ μηδ' ἄλλῳ ἐπιτρέπειν κτ. τὸ δυνατὸν, καὶ τοῦτο ἐθίζειν, οὗ Ἑλληνικοῦ γένους φείδεσθαι, εὐλαβουμένους τὴν ὑπὸ τῶν βαρβάρων δουλείαν; Ὅλῳ καὶ παντὶ (ἔφη) διαφέρει τὸ φείδεσθαι, μηδὲ Ἕλληνα ἄρα δοῦλον ἐκτῆσθαι, μήτε αὐτοὺς, τοῖς τε ἄλλοις Ἕλλησιν οὕτω συμβουλεύειν. Πάνυ μὲν οὖν, ἔφη· μᾶλλόν γ' ἂν οὖν οὕτω πρὸς τοὺς βαρβάρους τρέποιντο, ἑαυτῶν δ' ἀπέχοιντο. Τί δέ; σκυλεύειν (ἦν δ' ἐγὼ) τοὺς τελευτήσαντας, πλὴν ὅπλων, ἐπειδὰν νικήσωσιν, ἢ καλῶς ἔχει, ἢ οὔ; πρόφασιν μὲν τοῖς δειλοῖς ἔχει, μὴ [1] πρὸς τὸν μαχόμενον ἰέναι, ὥς τι τῶν δεόντων δρῶντας ὅταν περὶ τὸν τεθνεῶτα κυπτάζωσι· πολλὰ δὲ ἤδη στρατόπεδα διὰ τὴν τοιαύτην ἁρπαγὴν ἀπώλετο. Καὶ μάλα. Ἀνελεύθερον δὲ οὐ δοκεῖ καὶ φιλοχρήματον νεκρὸν συλᾶν, καὶ γυναικείας τε καὶ σμικρᾶς διανοίας, [2] πολέμιον νομίζειν τὸ σῶμα οὗ τεθνεῶτος, ἀποπτα-

1 Πρὸς τὸν μαχόμενον] Putat *Stephanus* scribendum esse πρὸς τὸ μαχόμενον.

2 Πολέμιον νομίζειν] Condemnat merito morem illum barbarum quo usi sunt Bellatores antiqui, *viz.* spoliandi & lacerandi defunctum corpus. Nullus erat Græcorum mortuo astans *Hectori* qui corpus ejus non vulneravit,

Ὦ πόποι ἦ μάλα δὴ μαλακώτερος ἀμφιφάασθαι
Ἕκτωρ, ἢ ὅτε νῆας ἐνέπρησεν πυρὶ κηλέῳ.
Ὣς ἄρα τὶς εἴπεσχε καὶ οὐτήσασχε παραστάς.

Hom. Ill. χ. *Tydeum* quoque in libro IX. *Thebaidos Statii* ita dedignatum videmus.

——*Juvat ora rigentia leto*

μένου

Proculdubio. Reliquum itaque tempus ſepulchra eorum veluti dæmonum colemus, atque adorabimus. Eadem quoque ſervabimus erga illos qui cum præcipua probitate pollere in vita judicati fuerint, ſenio aut alio quodam modo è vita ceſſerunt. Decet ſane. At quomodo adverſus hoſtes noſtri ſe milites gerent? Qua in re? In primis quidem de ſervitute quæro, utrum juſtum eſſe cenſeas, ut *Græci Græcas* urbes in ſervitutem redigant: an potius, ut neque ab aliis fieri iſtud permittant, ac pro viribus obſtent, conſueſcantque *Græcorum* generi parcere, caventes ne barbaris ipſi ſervire cogantur. Omnino & ad omnia refert *(Græcis)* parcere, neque quemquam *Græcorum* noſtri ſervum facere debent: ſed & *Græcis* aliis conſulere potius, ut ipſi ab hoc caveant. Prorſus. Nam ita facilius ac fortius contra barbaros inſurgent, & ab ſe invicem abſtinebunt. Quid autem? ſpoliare mortuos præter arma, poſtquam vicerunt, honeſtum eſt, an non? An occaſionem hoc præbet timidis, ne adverſus hoſtem eant, quaſi magnificum aliquid moliantur, quando inter cadavera volutantur? At enim rapiendi cupiditate multi jam exercitus perierunt. Maxime. An non illiberale quiddam, cogitationiſque avaræ, muliebris, ac vilis eſſe videtur cadaver ſpoliare, hoſtemque putare mortui corpus, cum adverſarius ipſe evolarit

Ft formidatos impune laceſſere vultus.
——Infectaque ſanguine tela
Conjugibus ſervant parviſque oſtendere natis.

A tali autem feritate abhorret Philoſophus cæſaque hoſtium corpora illæſa eſſe velit & inviolata, argumentis ab humanitate, Fortitudine & ratione ductis.

Οὔ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ' ἀνδράσιν. *Archilochus*, & *Homer.*

Οὐχ' ὁσίη φθιμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι. *Odyſſ.* 11.

Τὸ πολεμεῖν τ' ὀμοφύλων τοῖς πεθηκόσι θηριώδες. *Diod. Sicul.*

Πρὸς τὸν πλουτήσαντ' ἕκαστος

eo

μένου τοῦ ἐχθροῦ, λελοιπότος δὲ ᾧ ἐπολέμει; ἢ οἴει τὶ διάφορον δρᾷν τοὺς τοῦτο ποιοῦντας τῶν κυνῶν, αἳ τοῖς λίθοις οἷς ἂν βληθῶσι χαλεπαίνουσι, τοῦ βάλλοντος οὐχ ἁπτόμεναι; Οὐδὲ σμικρὸν, ἔφη. [1] Ἐατέον ἄρα τὰς νεκροσυλίας, καὶ τὰς τῶν ἀναιρέσεων διακωλύσεις. Ἐατέον μέντοι (ἔφη) νὴ Δία. Οὐδὲ μὴν που πρὸς τὰ ἱερὰ τὰ ὅπλα οἴσομεν, ὡς ἀναθήσοντες· ἄλλως τε καὶ τὰ τῶν Ἑλλήνων, ἐάν τι ἡμῖν μέλῃ τῆς πρὸς τοὺς ἄλλους Ἕλληνας εὐνοίας· μᾶλλον δὲ καὶ φοβηθησόμεθα μή τι μίασμα ᾖ, πρὸς ἱερὸν τὰ τοιαῦτα ἀπὸ τῶν οἰκείων φέρειν, ἐὰν μή τι δὴ ὁ θεὸς ἄλλο λέγῃ. Ορθότατα, ἔφη. Τί δέ; γῆς τε [2] τμήσεως τῆς Ἑλληνικῆς, καὶ οἰκιῶν ἐμπρήσεως, ποῖόν τι σοὶ δράσουσιν οἱ στρατιῶται πρὸς τοὺς πολεμίους; Σοῦ (ἔφη) δόξαν ἀποφαινομένου ἡδέως ἂν ἀκούσαιμι. Ἐμοὶ μὲν τοίνυν (ἦν δ' ἐγὼ) δοκεῖ τούτων μηδέτερα ποιεῖν, ἀλλὰ τὴν ἐπέτειον καρπὸν ἀφαιρεῖσθαι· καὶ ὧν ἕνεκα, βούλει σοι λόγω; Πάνυ γε. Φαίνεταί μοι, ὥσπερ καὶ ὀνομάζεται δύο ταῦτα τὰ ὀνόματα, πόλεμός τε καὶ στάσις, οὕτω καὶ εἶναι δύο, ὄντα ἐπὶ δυοῖν τινοῖν διαφοραῖν· λέγω δὲ τὰ δύο, τὸ μὲν, οἰκεῖον καὶ ξυγγενές· τὸ δὲ, ἀλλότριον καὶ ὀθνεῖον· ἐπὶ μὲν οὖν τῇ τοῦ οἰκείου ἔχθρᾳ, στάσις κέκληται· ἐπὶ δὲ τῇ τοῦ ἀλλοτρίου, πόλεμος. Καὶ οὐδέν γ', ἔφη, ἄπο τρόπου λέγεις. Ὅρα δὴ καὶ εἰ τόδε πρὸς τρόπου λέγω· φημὶ γὰρ τὸ μὲν Ἑλληνικὸν γένος, αὐτὸ αὑτῷ οἰκεῖον εἶναι καὶ ξυγγενὲς, τῷ δὲ βαρβαρι-

κἂν σφόδρα
Ὢν ἔχθρος ἥτις γίνεται φίλος τότε.
Dionysius in *Sotera*.

1 Ἐατέον οὖν] Jus sepulteræ omnes æque spectat. Νόμος Βροτῶν. *Euripid.* Κοινὸν νόμον. *Aristides.* *Hominum Ritus* Lucan. —*Terrarum leges & fœdera mundi.* Papin. Vide *Grotium.* Hunc autem locum male explicavit *Ficinus.* Vertit e-

κῷ

eo quod pugnabat relicto? Num cenſes eos qui hoc agunt, differre à canibus adverſus jactos lapides iraſcentibus, eo qui jacit dimiſſo? Nihilo equidem differre arbitror. A mortuorum violationibus igitur abſtinendum eſt, & a prohibitionibus quo minus cadavera auferantur. Abſtinendum penitus. Neque etiam in templum arma transferemus, ea Deo ſacraturi, præſertim arma *Græcorum*, ſi modo nobis curæ eſt cum Græcis aliis benevolentia. Maxime vero formidabimus, ne ſcelus impium ſit, talia a propriis in ſacrum transferre, niſi quid aliud deus dixerit. Recte admodum. An tui milites, *Græcorum* quibuſcum pugnabunt, agros depopulabuntur, ac domos incendent? Libenter quid tu de hoc ſentis, audirem. Mihi quidem nihil tale videtur agendum eſſe, ſed fructus annuos duntaxat auferendos. Vis cauſam dicam? Equidem. Videtur mihi ſicuti nomina hæc duo ſunt, *Bellum* ac *Seditio*, ita & duo quædam duabus ſubeſſe differentiis. Dico autem duo hæc, aliud quidem proprium & cognatum, aliud alienum atque extraneum. *Inimicitiam* quæ inter nos eſt, *ſeditionem*: quæ inter extraneos, *bellum* vocant. Haud ab re eſt quod ais. Animadvertere nunquid & hoc ad rem dicam. Aio equidem *Græcos* omnes inter ſe propinquos eſſe genere atque cognatos, a barbaris autem di-

nim. *Quare a rapinis hujuſmodi abſtinendum eſt. Victoriæ namque obſunt. Plato* vero intelligit, non eſſe obſtandum quo minus hoſtes poſſint ſuorum cadavera tollere. Sic νεκρῶν ἀναίρεσις & apud Hiſtoricos & hic quoque uſurpatur.

2 Τιμήσεως ἐλευθερικῆς] Non dubito quin deſideratur hic præpoſitio ἀφὲ poſt τιμήσεως. *Stephanus.*

verſos

καὶ οἰκεῖόν τε καὶ ἀλλότριον. Καλῶς γε, ἔφη. Ἕλληνας μὲν ἄρα βαρβάροις, καὶ βαρβάρους Ἕλλησι πολεμεῖν μαχομένους τε φήσομεν. καὶ πολεμίους φύσει εἶναι, καὶ πόλεμον τοῦτ' ἔχθραν ταύτην κλητέον· Ἕλληνας δὲ Ἕλλησιν, ὅταν τι τοιοῦτον δρῶσι, φύσει μὲν φίλους εἶναι, νοσεῖν δ' ἐν τῷ τοιούτῳ τὴν Ἑλλάδα καὶ στάσιν τοιαύτην ἔχθραν κλητέον. Ἐγὼ μὲν (ἔφη) συγχωρῶ οὕτω νομίζειν. Σκόπει δή (εἶπον) ὅτι ἐν τῇ νυνὶ ὁμολογουμένῃ στάσει, ὅπου ἄν τι τοιοῦτο γένηται, καὶ διαστῇ πόλις, ἐὰν ἑκάτεροι ἑκατέρων τέμνωσιν ἀγροὺς, καὶ οἰκίας ἐμπιπρῶσιν, ὡς ἀλιτηριώδης τε δοκεῖ ἡ στάσις εἶναι, καὶ οὐδέτεροι αὐτῶν φιλοπόλιδες· οὐ γὰρ ἂν πολὺ ἐτόλμων τὴν τροφόν τε καὶ μητέρα κείρειν· ἀλλὰ μέτριον εἶναι τοὺς καρποὺς ἀφαιρεῖσθαι τοὺς κρατοῦσι τῶν κρατουμένων, καὶ διανοεῖσθαι ὡς διαλλαγησομένων καὶ οὐκ ἀεὶ πολεμιστέων. Πολὺ γὰρ (ἔφη) ἡμερωτέρων αὕτη ἡ διάνοια ἐκείνης. Τί δὲ δή; (ἔφην) οὐ σὺ πόλιν οἰκίζεις, οὐκ Ἑλληνὶς ἔσται; Δεῖ γ' αὐτήν, ἔφη. Οὐκοῦν καὶ ἀγαθοί τε καὶ ἥμεροι ἔσονται; Σφόδρα γε. Ἀλλ' οὐ φιλέλληνες; οὐδὲ οἰκείαν τὴν Ἑλλάδα ἡγήσονται, οὐδὲ κοινωνήσουσιν ὧνπερ ἄλλοι ἱερῶν; Καὶ σφόδρα γε. Οὐκοῦν τὼ πρὸς τοὺς Ἕλληνας διαφορὰν, ὡς οἰκείους, φήσουσιν ἡγήσονται, καὶ οὐδὲ ὀνομάσουσι πόλεμον; Οὐ γάρ. Καὶ ὡς διαλλαγησόμενοι ἄρα διοίσουσιν; Πάνυ μὲν οὖν. Εὐμενῶς δὴ σωφρονιοῦσιν, οὐκ ἐπὶ δουλείᾳ κολάζοντες, οὐδ' ἐπ' ὀλέθρῳ σωφρονιστὰὶ ὄντες, οἱ πολέμιοι. Οὕτως, ἔφη. Οὐδ' ἄρα τὴν Ἑλλάδα Ἕλληνες ὄντες κερδήσουσιν, οὐδὲ οἰκήσεις ἐμπρήσουσιν· οὐδὲ ὁμολογήσουσιν ἐν ἑκάστῃ

1 Μέτριον εἶναι] Post εἶναι deesse puto verbum ἡγοῦντο, vel ἐνόμιζον, aut aliud ejusdem significationis. *Idem.*

πόλει

verſos atque extraneos. Præclare loqueris. Quoties igitur *Græcia* adverſus barbaros, vel contra *Græcos* barbari ipſi pugnabunt, bellum gerere aſſeremus, & hoſtes eſſe natura, & has inimicitias bellum vocabimus. Quando vero *Græci* adverſus *Græcos* inſurgent, dicemus eos natura quidem amicos eſſe, morbo autem laborare in hoc *Græciam*, & ſeditionibus agitari, & ſeditionem has inimicitias appellabimus. Aſſentior equidem. Si in ſeditioſa civitate utriuſque factionis homines adverſariorum agros popularentur, inflammarentque domos, vides quam pernicioſa futura ſeditio ſit, neutrique illorum patriæ ſuæ cultores? Quippe ſi eam amarent, nunquam certe auderent nutricem matremque vaſtare, ſed ſatis eſſe factum putarent, ſi victores aliorum raperent, fructus, exiſtimantes non ſemper ſe invicem pugnaturos, ſed quandoque reconciliandos. Mitiorum profecto hominum hæc eſt ſententia. Civitas hæc quam condis, nonne *Græca*? Decet. Ergo & æqui & mites in ea cives. Maxime. Quare nonne *Græcorum* amici? Nempe omnem *Græciam* ſibi conjunctam exiſtimabunt, & ſacra habebunt, ut alii, inter ſe communia. Summopere. Itaque contentionem ſibi adverſus alios *Græcos* extortam, tanquam cum ſuis geri putabunt, ſeditionemque vocabunt, non bellum. Sic prorſus agent. Ergo tanquam qui reconciliandi quandoque ſint, altercabuntur. Ita certe. Benevolo igitur & temperato animo rem agent, non ad ſervitutem aut necem reſpicientes, tanquam qui hoſtes minime ſint. Hoc utique modo. Non ergo *Græciam*, cum *Græci* ſint, deſtruent, neque domos incendent, neque putabunt in ſingulis civitatibus

πόλει πάντας ἐχθρὺς αὐτοῖς εἶναι, καὶ ἄνδρας καὶ γυναῖκας καὶ παῖδας, ἀλλ' ὀλίγους ἀεὶ ἐχθρὺς τοὺς αἰτίους τῆς διαφορᾶς· καὶ διὰ ταῦτα πάντα οὔτε τὴν γῆν ἐθελήσουσι κείρειν αὐτῶν, ὡς φίλων τῶν πολλῶν, οὔτε οἰκίας ἀνατρέπειν· ἀλλὰ μέχρι τούτου ποιήσονται τὴν διαφορὰν, μέχρις οὗ ἂν οἱ αἴτιοι ἀναγκασθῶσιν ὑπὸ τῶν ἀναιτίων ἀλγούντων δοῦναι δίκην. Ἐγὼ μὲν (ἔφη) ὁμολογῶ οὕτω δεῖν πρὸς ἐναντίους τοὺς ἡμετέρους πολίτας προσφήρεσθαι· πρὸς δὲ τοὺς βαρβάρους, ὡς νῦν οἱ Ἕλληνες πρὸς ἀλλήλους. Τιθῶμεν δὴ καὶ τοῦτον τὸν νόμον τοῖς φύλαξι, μήτε γῆν τέμνειν, μήτε οἰκίας ἐμπιπράναι;

1 Θῶμεν, ἔφη, καὶ ἔχειν γε καλῶς ταῦτά τε καὶ τὰ πρόσθεν· ἀλλὰ γάρ μοι δοκεῖς, ὦ Σώκρατες, ἐάν τις σοὶ τὰ τοιαῦτα ἐπιτρέπῃ λέγειν, οὐδέποτε μνησθήσεσθαι ὃ ἐν τῷ πρόσθεν παρωσάμενος, πάντα ταῦτα εἴρηκας, τὸ, ὡς δυνατὴ αὕτη πολιτεία γενέσθαι, καὶ τίνα τρόπον ποτὲ δυνατή· ἐπεὶ ὅτι γε εἰ γένοιτο, πάντ' ἂν εἴη ἀγαθὰ πόλει ᾗ γένοιτο, καὶ ἃ σὺ παραλείπεις, ἐγὼ λέγω, ὅτι καὶ τοῖς πολεμίοις ἄριστ' ἂν μάχοιντο, τῷ ἥκιστα ἀπολείπειν ἀλλήλους, γινώσκοντές τε καὶ ἀνακαλοῦντες ταῦτα τὰ ὀνόματα ἑαυτοῖς, ἀδελφοὺς, πατέρας, υἱεῖς· εἰ δὲ καὶ τὸ θῆλυ συστρατεύοιτο, εἴτε καὶ ἐν τῇ αὐτῇ τάξει, εἴτε καὶ ὄπισθεν ἐπιτεταγμένον, φόβων τε ἕνεκα τοῖς ἐχθροῖς, καὶ εἴποτέ τις ἀνάγκη βοηθείας γένοιτο, οἶδ' ὅτι ταύτῃ πάντῃ ἄμαχοι ἂν εἶεν· καὶ οἴκοι γε, ἃ παραλείπεται ἀγαθὰ ὅσα ἂν εἴη αὐτοῖς, ὁρῶ· ἀλλ' ὡς ἐμοῦ ὁμολογοῦντος ταῦτα πάντα ὅτι εἴη ἂν, καὶ ἄλλά γε μυρία, εἰ γένοιτο ἡ πολιτεία αὕτη, μηκέτι πλείω πε-

1 Θῶμεν ἔφη] De philosophico Custodis ingenio. Hoc autem nexu ex superiri sermone oritur. Descripto namque com-

εἰ

bus omnes ſibi inimicos eſſe & viros, & mulieres & pueros ſed paucos admodum inimicos, eos duntaxat qui fuerint diſcordiæ autores. Quamobrem neque regionem devaſtabunt eorum quaſi ut plurimum amicorum, neque domos ſubvertent, ſed eatenus decertabunt, quatenus quod diſcordiæ cauſam dederunt, inſontibus pœnas ſolvant. Aſſentior equidem ita eſſe *Græcis* pugnantibus repugnandum, contra barbaros autem ita animatos eſſe debere, ut nunc *Græci* contra *Græcos* affecti ſunt. Ponamus itaque legem hanc cuſtodibus, *ut neque populentur agros, neque igne ædes conſumant.*

Ponamus profecto, inquit, & hæc una cum ſuperioribus recte ſe habere aſſeveremus. Sed mihi quidem videris, ô Socrates, ſiquis te alia quædam narrare permittat, nunquam illius te recordaturum, quod in ſuperioribus prætermittens, hæc omnia in medium adduxiſti: quod videlicet poſſibile ſit hanc reipublicæ formã fieri poſſe & quomodo fieri poſſit. Nam ſi extiterit, quin bona omnia civitati ipſi proveniant, non dubito: quin & ea etiam quæ tu prætermittis, quod videlicet cives illi contra hoſtes ſtrenue pugnabunt, eo quod ſe invicem nequaquam deſerent cognoſcentes ſe invicem eſſe propinquos, perque hæc nomina mutuo ſe vocantes, *fratres*, *patres*, *filios*, Quod ſi & fœminæ militent una, ſive eodem in ordine, ſive ſequenti acie, ut & terreantur hoſtes & cum neceſſitas poſtulaverit, viris auxilium afferatur, certe ſcio inexpugnabiles eos fore & quot bona eos domi ſequantur, etſi dicta omnia non ſunt, intelligo. Verum tanquam concedente me hæc omnia & alia permulta, ſi fiat hæc reſpublica

munitatis ſuæ illius modo quem utiliſſimum ait futurum ſi fieri poſſit; quærit an extare uſpiam poſſit hujuſmodi *Reip.* forma.

pro-

εἰ αὐτῆς λέγε· ἀλλὰ τοῦτο αὐτὸ ἤδη πειρώμεθα ἡμᾶς αὐτοὺς πείθειν, ὡς δυνατὸν, καὶ ᾗ δυνατόν· τὰ δ' ἄλλα χαίρειν ἐῶμεν. [1] Ἐξαίφνης γε σὺ (ἦν δ' ἐγὼ) ὥσπερ καταδρομὴν ἐποιήσω ἐπὶ τὸν λόγον μοῦ· καὶ οὐ συγγινώσκεις στρατευομένῳ· ἴσως γὰρ οὐκ οἶσθα· ὅτι μόγις μοι τὼ δύω κύματε ἐκφυγόν, νῦν τὸ μέγιστον καὶ χαλεπώτατον τῆς τρικυμίας ἐπάγεις· ὃ ἐπειδὰν ἴδῃς τε καὶ ἀκούσῃς, πάνυ σωγγνώμην ἕξεις, ὅτι εἰκότως ἄρα ὤκνουν τε καὶ ἐδεδοίκειν οὕτω παράδοξον λόγον λέγειν τε καὶ ἐπιχειρεῖν διασκοπεῖν. Ὅσῳ ἂν (ἔφη) τοιαῦτα πλείω λέγῃς, ἧττον ἀφεθήσῃ ὑφ' ἡμῶν, πρὸς τὸ μὴ εἰπεῖν πῇ δυνατὴ γίγνεσθαι αὕτη ἡ πολιτεία· ἀλλὰ λέγε, καὶ μὴ διάτριβε. Οὐκοῦν, ἦν δ' ἐγὼ, πρῶτον μὲν χρὴ τόδε ἀναμνησθῆναι, ὅτι ἡμεῖς [2] ζητοῦντες δικαιοσύνην οἷόν ἐστι καὶ ἀδικίαν, δεῦρο ἥκομεν. Χρή. Ἀλλὰ τί τοῦτο; ἔφη. Οὐδέν· ἀλλ' ἐὰν εὕρωμεν οἷόν ἐστι δικαιοσύνη, ἆρα καὶ ἄνδρα τὸν δίκαιον ἀξιώσομεν μηδὲν δεῖν αὐτῆς ἐκείνης διαφέρειν, ἀλλὰ πανταχῇ τοιοῦτον εἶναι οἷον δικαιοσύνη ἐστὶν; ἢ ἀγαπήσομεν ἐὰν ὅτι ἐγγύτατα αὐτῆς ᾖ, καὶ πλεῖστα τῶν ἄλλων ἐκείνης μετέχῃ; Οὕτως, ἔφη, ἀγαπήσομεν. Παραδείγματος ἄρα ἕνεκα (ἦν δ' ἐγὼ) ἐζητοῦμεν αὐτό τε δικαιοσύνην οἷόν ἐστι, καὶ ἄνδρα τὸν δίκαιον, εἰ γένοιτο, καὶ οἷος ἂν εἴη γενόμενος· καὶ ἀδικίαν αὖ, καὶ τὸν ἀδικώτατον· ἵνα εἰς ἐκείνους ἀποβλέποντες, οἷοι ἂν ἡμῖν φαίνωνται εὐδαμονίας τε πέρι καὶ τοῦ ἐναντίου, ἀναγκαζώμεθα καὶ περὶ ἡμῶν αὐτῶν ὁμολογεῖν, ὃς ἂν ἐκείνοις ὅτι ὁμοίτατος ᾖ, τὴν ἐκείνοις μοῖραν ὁμοιοτάτην ἕξειν· ἀλλ' οὐ τοῦ-

1 Ἐξαίφνης γε σὺ] Initium copiosissimi sermonis, in quo 6 & 7 libros occupabit. Adhibet proëmium, quo ait se invitum & reluctantem ad hunc sermonem adduci.

2 Ζητοῦντες δικαιοσύνην] Prima responsio ad præcedentem

τοῦ

proventura, ne plura de ipsa commemores, sed hoc ipsum jam conemur nobis persuadere quod possibile hanc extare rempub. & quomodo. Cætera vero mittamus. Subita quadam incursione sermonem meum iterum invasisti, neque mihi ignoscis militanti, neque advertis forsitan quod vix me duobus e fluctibus emergentem, nunc in tertium maximum & difficillimum retrudas. Quod postquam videris audierisque, dabis certe mihi veniam, cognoscens haud injuria extimuisse me sermonem adeo ab opinione hominum abhorrentem ingredi. Quo plura, inquit, in hanc sententiam congeres, eo minus dimitteris a nobis, quominus ostendas qua ratione fieri possit hæc respub. Quare dicas jam, nec cunctaris. In primis inquam, meminisse oportet, quod nos inquirentes quale & quid justitia & injustitia sit, huc devenimus. Oportet sane, sed quorsum hæc? Nempe si quale & quid justitia sit conspexerimus, nnm virum justum censebimus nihilo debere ab illa differre, sed talem esse omnino qualis ipsa est? an satis esse factum putabimus si quam proxime ad eam accesserit, & maxime omnium illius sit particeps? Ita plane satis habere putabimus. Exempli igitur causa quale & quid justitia sit, quæsivimus, & qualis vir perfecte justus si extet. Injustitia rursus qualis, & injustissimus homo: ut quales ipsi quoad beatitudinem & miseriam esse nobis contuentibus viderentur, cogeremur & de nobis ipsis fateri, talem nostrum quemque

quæstionem. Etsi ea *Reip.* forma quam hactenus descripsit nuspiam inveniretur, nihil tamen obstat quo minus hæc optima sit & præstantissima in se, quandoquidem non propositum est docere quid revera fiet, sed quid fieri debet.

τȣ ἕνεκα ἵν' ἀποδείξωμεν ὡς δυνατὰ ταῦτα γίγνεσθαι. Τȣ̃το μὲν (ἔφη) ἀληθὲς λέγεις· οἴει ἂν οὖν ἧττόν τι ἀγαθὸν ζωγράφον εἶναι, ὃς ἂν γράψας παράδειγμα οἷος ἂν εἴη ὁ κάλλιστος ἄνθρωπος, καὶ πάντα εἰς τὸ γράμμα ἱκανῶς ἀποδȣ̀ς, μὴ ἔχοι ἐπιδεῖξαι ὡς καὶ δυνατὸν γενέσθαι τοιȣ̃τον ἄνδρα; Μὰ Δί' ȣ̓κ ἔγωγ' ἔφη. Τί οὖν ȣ̓ καὶ ἡμεῖς (φαμὲν) παράδειγμα ἐποιȣ̃μεν λόγῳ ἀγαθῆς πόλεως; Πάνυ γε. Ἧττόν τι οὖν οἴει ἡμᾶς εὖ λέγειν τȣ́τȣ ἕνεκα, ἐὰν μὴ ἔχωμεν ἀποδεῖξαι ὡς δυνατὸν οὕτω πόλιν οἰκῆσαι ὡς ἐλέγετο; Οὐ δῆτα, ἔφη. Τὸ μὲν τοίνυν ἀληθὲς (ἦν δ' ἐγὼ) οὕτω· εἰ δὲ δὴ καὶ τȣ̃το προθυμηθῆναι δεῖ σὴν χάριν, ἀποδεῖξαι πῇ μάλιστα καὶ κατὰ τί δυνατώτατ' ἂν εἴη, πάλιν μοι πρὸς τὴν τοιαύτην ἀπόδειξιν τὰ αὐτὰ διομολόγησαι. Τὰ ποῖα; Ἆρ' οἷόν τέ τι πραχθῆναι ὡς λέγεται, ἢ φύσιν ἔχει πρᾶξιν λέξεως ἧττον ἀληθείας ἐφάπτεσθαι, κἂν εἰ μή τῳ δοκῇ; ἀλλὰ σὺ πότερον ὁμολογεῖς ȣ̓́τως, ἢ οὔ; Ὁμολογῶ, ἔφη. Τȣ̃το μὲν δὴ μὴ ἀνάγκαζέ με, οἷα τῷ λόγῳ διήλθομεν, τοιαῦτα παντάπασι καὶ τῷ ἔργῳ δὴ γιγνόμενα ἀποφαίνειν· ἀλλ' ἐὰν οἷοί τε γενώμεθα εὑρεῖν ὡς ἂν ἐγγύτατα τῶν εἰρημένων πόλις οἰκήσειε, φάναι ἡμᾶς ἐξευρηκέναι ὡς δυνατὰ ταῦτα γίγνεσθαι ἃ σὺ ἐπιτάττεις, ἢ οὐκ ἀγαπήσεις τȣ́των τυγχάνων; ἐγὼ μὲν γὰρ ἂν ἀγαπῴην. Καὶ γὰρ ἐγὼ, ἔφη. Τὸ δὲ δὴ μετὰ τȣ̃το, ὡς ἔοικε, [1] πειρώμεθα ζητεῖν τε καὶ ἀποδεικνύναι, τί ποτε νῦν κακῶς ἐν ταῖς πόλεσι πράττεται, δι' ὃ ȣ̓χ' οὕτως οἰκοῦνται· καὶ τίνος ἂν σμικροτάτȣ μεταβαλόντος ἔλθοι εἰς τȣ̃τον τὸν

1 Πειρώμεθα ζητεῖν] Secunda ratio. Causam cur tanto bono non frui potest *Resp.* hanc esse. Quod Illi qui rerum potentes sunt minime sunt Philosophi, imo Philosophici, nomi-

πρό-

ſortem habiturum, quiſquis e nobis illis ſe præſtiterit quam ſimillimum. Non autem ob id perſcrutati hæc ſumus, ut monſtraremus ea fieri poſſe. Vera hæc ſunt, Cenſes aliquem ex hoc minus bonum fore pictorem, quod poſtquam humanæ pulchritudinis exemplar abſolutum ediderit, nihilque de ſpecie prætermiſerit, nequeat demonſtrare hominem talem reperiri poſſe? Nequaquam. Nonne & nos præſtantiſſimæ civitatis exemplar oratione effinximus? Prorſus. An igitur eo minus nos recte loqui exiſtimas, ſi oſtendere non poſſumus, talem extare poſſe civitatem qualem ipſo ſermone depinximus? Minime. Sic utique ſeveritas habet. Quod ſi & hoc præterea tui cauſa demonſtrandum, quo modo, & ſecundum quid maxime effici poſſit, rurſus ad hanc demonſtrationem hæc ipſa mihi fateare oportet. Quænam? Nunquid ſic fieri quicquam poſſit ut dicitur, vel ita natura comparatum eſt, ut actio minus quam Sermo veritatem attingat, licet alicui non videatur? Tu vero utrum fateris iſtud, an non? Fateor equidem. Ne me cogas igitur ut qualia verbis hæc percurrimus, talia penitus reipſa fieri demonſtrem. Sed ſi valeamus invenire qua ratione quam proxime ad hæc accedat Reipubl. inſtitutio, fatendum eſt comperiſſe nos quemadmodum quæ tu præcipis, effici poſſunt. An non ſatis eſſe factum duces, ſi horum compos efficiaris? Nam ego quidem ſat haberem. Ego quoque. Conemur igitur declarare poſthac, quid iſtud ſit propter quod in civitatibus male agatur, quo minus ſic regantur, & utrum unius cujuſdam exigui mutatione civitas ad

nis ſæpe infenſiſſimi hoſtes Ingenium philoſophicum quod a Cuſtode poſtulabat hic videre

erit, & quodnam ſit & quatenus in πολιτικὴν μεταβάσιν cadat.

τρόπον τῆς πολιτείας πόλις· μάλιστα μὲν, ἑνός· εἰ δὲ μὴ, δυοῖν· εἰ δὲ μὴ, ὅτι ὀλιγίστων τὸν ἀριθμὸν, καὶ σμικροτάτων τὴν δύναμιν. Παντάπασι μὲν οὖν, ἔφη. Ἑνὸς μὲν τοίνυν (ἦν δ' ἐγὼ) μεταβαλόντος, δοκεῖ μέν μοι ἔχειν δεῖξαι ὅτι μεταπέσοι ἄν· οὐ μέντοι σμικροῦ γε, οὐδὲ ῥᾳδίου, δυνατοῦ δέ. Τίνος; ἔφη. Ἐπ' αὐτὸ δὴ (ἦν δ' ἐγὼ) εἶμι ὃ [1] τῷ μεγίστῳ παρεικάζομεν κύματι· εἰρήσεται δ' οὖν, εἰ καὶ μέλλει γέλωτί τε ἀτεχνῶς, ὥσπερ κῦμα ἐκγελῶν, καὶ ἀδοξίᾳ κατακλύσειν· σκόπει δὲ ὃ μέλλω λέγειν. Λέγε, ἔφη. Ἐὰν μὴ (ἦν δ' ἐγὼ) ἢ οἱ φιλόσοφοι βασιλεύσωσιν ἐν ταῖς πόλεσιν, ἢ οἱ βασιλεῖς τε νῦν λεγόμενοι καὶ δυνάσται φιλοσοφήσωσι γνησίως τε καὶ ἱκανῶς, καὶ τοῦτο εἰς ταυτὸν ξυμπέσῃ δυνάμις τε πολιτικὴ καὶ φιλοσοφία, τῶν δὲ νῦν πορευομένων χωρὶς ἐφ' ἑκάτερον αἱ πολλαὶ φύσεις ἐξ ἀνάγκης ἀποκλεισθῶσιν, οὐκ ἔστι κακῶν παῦλα, ὦ φίλε Γλαύκων, ταῖς πόλεσιν· δοκῶ δὲ, οὐδὲ τῷ ἀνθρωπίνῳ γένει. οὐδὲ αὕτη ἡ πολιτεία μήποτε πρότερον φυῇ τε εἰς τὸ δυνατὸν καὶ φῶς ἡλιοῦ ἴδῃ, ἣν νῦν λόγῳ διεληλύθαμεν· ἀλλὰ τοῦτό ἐστιν ὃ ἐμοὶ πάλαι ὄκνον ἐντίθησι, λέγειν, ὁρῶντι ὡς πολὺ παρὰ δόξαν ῥηθήσεται· [2] χαλεπὸν γὰρ ἰδεῖν ὅτι οὐκ ἂν ἄλλη τὶς εὐδαιμονήσειεν· οὔτε ἰδίᾳ οὔτε δημοσίᾳ. Καὶ ὃς, ὦ Σώκρατες, ἔφη, τοιοῦτον ἐκβέβληκας ῥῆμά τε καὶ λόγον, ὃν εἰπὼν ἡγοῦ ἐπί σε πάνυ πολλούς τε καὶ οὐ φαύλους νῦν οὕτως, οἷον ῥίψαντας τὰ ἱμάτια, γυμνοὺς λαβόντας ὅ, τι ἑκάστῳ παρέτυχεν ὅπλον, θεῖν διατεταγμένους, ὡς θαυμάσια ἐργασομένους οὓς εἰ μὴ ἀμυνεῖ τῷ λόγῳ, καὶ ἐκφεύ-

1 Μεγίστῳ παρεικάζομεν] Vid. supra pag. 242.

2 Χαλεπὸν γὰρ ἰδεῖν] Pro ἰδεῖν reponit *Stephanus* πείθειν. Mallem ita legere χαλεπὸν μὴ ἰδεῖν. Magis enim probabile est encliticam mutari quam verbum; hunc locum citat *Ju-*

ζῃ,

hanc formam inſtituatur, quidve illud ſit: & nunquid maxime unius mutatione id fiat, vel ſaltem duorum, an plurium, ſed quam pauciſſimorum, & potentia minornm. Sic omnino. Uno quodam mutato oſtendere poſſumus formam mutatum iri, quod quidem non eſt parvum, nec facile, poſſibile tamen. Quid iſtud? Ad id redeo quod ingenti fluctui comparavimus. Dicetur igitur, quanquam ſuſpicor ne effuſiore pervicaſiorum riſu inundante penitus obruatur. Conſidera quod dicturus ſum. Dic jam. Niſi vel philoſophi civitatibus dominentur, vel hi qui nunc reges potenteſque dicuntur, legitime ſufficienterque philoſophentur, & in idem civilis potentia & philoſophia concurrant, neque (quod nunc fit) a diverſis duo hæc tractentur ingeniis, non erit civitati, vel, ut mea fert opinio, hominum generi requies ulla malorum, neque prius hæc reſpub. quam verbis expoſuimus, orietur pro viribus, & lumen ſolis aſpiciet. Hoc eſt, quod ego jamdiu dicere vereor quaſi ſit incredibile dictum. Nam haud facile videtur, nullam aliam gubernationem privatim vel publice futuram felicem. Ex hac tua oratione, ô Socrates, exiſtimato plurimos, nec viles quidem homunculos, abjectis veſtibus, ſuſceptiſque, undecunque contigerint, armis, impetum in te facturos, magnum quiddam conaturos. Quibus niſi oratione occurris, & fugias plurimis convitiis laceratus da-

ſtin. Martyr pag. 5. Apol. pro Chriſt. 1. ejus quoque meminit *Philo* & *Cicero* ad Q. fratrem Idem & *Marco Antonino* ſemper in ore fuit, teſte *Julio Capitolino* in vita ejus & multis aliis.

ξῃ, τῷ ὄντι τωθαζόμενος δώσεις δίκην. Οὐκοῦν σύ μοι (ἦν δ' ἐγὼ) τούτων αἴτιος; Καλῶς γ', ἔφη, ἐγὼ ποιῶν· ἀλλά τοι σὲ οὐ προδώσω, ἀλλ' ἀμυνῷ οἷς δύναμαι· δύναμαι δ' εὐνοίᾳ τε καὶ τῷ παρακελεύεσθαι· καὶ ἴσως ἂν ἄλλου τοῦ ἐμμελέστερόν σοι ἀποκρινοίμην· ἀλλ' ὡς ἔχων τοιοῦτον βοηθὸν, πειρῷ τοῖς ἀπιστοῦσιν ἐνδείξασθαι ὅτι ἔχει ᾗ σὺ λέγεις. Πειρατέον, ἦν δ', ἐγὼ ἐπειδὴ καὶ σὺ οὕτω μεγάλην ξυμμαχίαν παρέχεις· ἀναγκαῖον οὖν μοι δοκεῖ, εἰ μέλλομέν πη ἐκφεύξεσθαι οὓς λέγεις, διορίσασθαι πρὸς αὐτοὺς, τοὺς φιλοσόφους τίνας λέγοντες, τολμῶμεν φάναι δεῖν ἄρχειν· ἵνα διαδήλων γενομένων, δύνηταί τις ἀμύνεσθαι, ἐνδεικνύμενος ὅτι τοῖς μὲν προσήκει φύσει ἅπτεσθαί τε φιλοσοφίας, ἡγεμονεύειν τ' ἐν τῇ πόλει· τοῖς δ' ἄλλοις, μήτε ἅπτεσθαι, ἀκολουθεῖν τε τῷ ἡγουμένῳ. Ὥρα ἂν εἴη (ἔφη) ὁρίζεσθαι. [1] Ἴθι δὴ, ἀκολούθησόν μοι τῇδε, ἐὰν αὐτὸ ἁμηγέ πῃ ἱκανῶς ἐξηγησώμεθα. Ἄγε δὴ, ἔφη. Ἀναμιμνήσκειν οὖν σε (ἦν δ' ἐγὼ) δεήσει, ἢ μέμνησαι ὅτι ὃν ἂν φῶμεν φιλεῖν τι, δεῖ φανῆναι αὐτὸν, ἐὰν ὀρθῶς λέγῃ, οὐ τὸ μὲν φιλοῦντα ἐκείνου, τὸ δὲ μὴ, ἀλλὰ πᾶν στέργοντα; Ἀναμιμνήσκειν (ἔφη) ὡς ἔοικε, δεῖ· οὐ γὰρ πάνυ γε ἐννοῶ. Ἄλλῳ (εἶπον) ἔπρεπεν, ὦ Γλαύκων, λέγειν ἃ λέγεις· ἀνδρὶ δ' ἐρωτικῷ οὐ πρέπει ἀμνημονεῖν ὅτι πάντες οἱ ἐν ὥρᾳ τὸν φιλόπαιδα καὶ ἐρωτικὸν ἁμεγέ πη δάκνουσί τε καὶ κινοῦσι, δοκοῦντες ἄξιοι εἶναι ἐπιμελείας τε καὶ τοῦ ἀσπάζεσθαι· ἢ οὐχ' οὕτω ποιεῖτε πρὸς τοὺς καλούς; ὁ μὲν, ὅτι [2] σιμὸς, ἐπίχαρις

1 Ἴθι δὴ] Docetur quid sit verus Philosophus, ut quid sit falsus & adulterinus perspiciatur: cur atem id investigat initio disputationis opportune notat, ut nimirum intelligatur quatenus ea philosophiæ cognitio civili administrationi convenire potest.

2 Σίμος ἐπίχαρις] Quæcun-

κλη-

bis pœnas. An non tu horum mihi causa es? Et recte quidem. Verum haud te prodam, imo certe defendam quibuscunque, potero. Possum certe benevolentia exhortationibusque, ac forte diligentius, quam quivis alius respondebo. Quamobrem tanquam hoc defensore adjutus conare his incredulis demonstrare, ita esse ut dicis. Annitendum profecto, postquam & tu acriter propugnaturus videris. Necessarium mihi videtur, si eos quos dicis, effugere volumus, declarare illis in primis, quales viros esse philosophos arbitremur, cnm affirmamus eos imperare oportere: ut his patefactis possit aliquis opem ferre, ostendens quod hos quidem decet ex ipsa natura, & philosophiæ studium, & reipublicæ administrationem attingere: alios autem nequaquam attingere, sed ducentibus illis obtemperare. Declarandum jam. Age hac sequere, siquo modo exponere quod satis sit, valeamus. Duc. Nunquid admonendus es? an satis ipse meministi, quod quando aliquem amare aliquid dicimus, videatur opertet, si vere id dicitur, non partim illud diligere, partim minime, sed erga totum affici? Admonitione equidem egeo. Nam non satis teneo. Alium quemvis potius decebat, ô Glauco, ita loqui. Virum autem amori plurimum indulgentem ignorare non decet, quod omnes in ætatis flore constituti, puerorum amatorem quoquo modo stimulant atque concitant, cum digni cura ac dilectione esse videantur. An non sic erga speciosos adolescentes affecti estis.

que est Amasiæ forma delectat Amatorem imo etiam ut *Theocritus*,

Ἔρωτι πολλάκις τὰ μὴ καλὰ πέφανται.

Idyll. 6. & *Battus* Messor in Idyll 10. dicit ad amicam suam

Βομβύκα χαρίεσσα Σύραν καλέοντί τυ πάντες.

Ἰσχνὰν, ἁλιόκαυστον, ἐγὼ δὲ μόνος μελίχλωρον.

Nobis qui adolescentulis delectamur, etiam vitia sæpe jucunda sunt. Nævus in articulo pueri delectat Alcæum, *at est corporis macula nævus, illi tamen hoc lumen videbatur*: Q. Catulus

χληθεὶς, ἐπαινεθήσεται ὑφ' ὑμῶν· τῷ γὰρ τὸ χρυσὸν, βασιλικὸν φατὲ εἶναι· τῷ δὴ ἀφ' μέσῳ τούτων, ἐμμετρόταλα ἔχειν· μέλανας γὰρ, ἀνδρικὰς ἰδεῖν· λευκὰς γὰρ, θεῶν παῖδας εἶναι· μελαγχλώρους γὰρ τίνομα οἴῃ τινὸς ἄλλο ποίημα εἶναι ἢ ἐραστοῦ ὑποκοριζομένου τε καὶ δυσχερῶς φέροντος τὴν ὠχρότητα, ἐὰν ἐπὶ ὥρᾳ ᾖ; καὶ ἐνὶ λόγῳ πάσας τὰς φθάσεις τὰς φασίζεσθέ τε, καὶ πάσας φωνὰς ἀφίετε, ὥστε μηδένα ἀποβάλλειν τῶν ἀνθρώπων ἐν ὥρᾳ. Εἰ βούλει (ἔφη) ἐπ' ἐμοῦ λέγειν περὶ τῶν ἐρωτικῶν ὅτι οὕτω ποιοῦσι, συγχωρῶ, καὶ λόγου χάριν. Τί δ', οἰῶ δ' ἐγὼ, τοὺς φιλοίνους οὐ τὰ αὐτὰ ταῦτα ποιοῦντας ὁρᾷς; πάντα οἶνον ἐπὶ πάσης προφάσεως ἀσπαζομένους; Καὶ μάλα. Καὶ μὴν φιλοτίμους γε (ὡς ἐγῷμαι) καθορᾷς, ὅτι ἂν μὴ στρατηγῆσαι δυνῶνται, τριηραρχοῦσι· κἂν μὴ ὑπὸ μειζόνων καὶ σεμνοτέρων τιμῶνται, ὑπὸ σμικροτέρων καὶ φαυλοτέρων τιμώμενοι ἀγαπῶσιν, ὡς ὅλως τιμῆς ἐπιθυμηταὶ ὄντες. Κομιδῇ μὲν οὖν. Τοῦτο δὴ φάθι, ἢ μή· ἆρ' οὖν ἄν τινος ἐπιθυμητικὸν λέγωμεν, παντὸς ἢ εἴδους τούτου φήσομεν ἐπιθυμεῖν; ἢ ἔστι μὲν, ἔστι δ' οὔ; Παντὸς, ἔφη. Οὐκοῦν καὶ τὸ φιλόσοφον, σοφίας φήσομεν ἐπιθυμητικὸν εἶναι, οὐ τῆς μὲν, τῆς δ' οὔ, ἀλλὰ πάσης; Ἀληθῆ. Τὸν ἄρα περὶ τὰ μαθήματα δυσχεραίνοντα, ἄλλως τε καὶ νέον

dilexit municipem tuum Roſcium, *illi Deo pulchrior. At erat ſicut hodie eſt perverſiſſimis oculis. Quid refert ſi hoc ipſum falſum illi & pulchrum videbatur?* Cic. 1. de Nat. Deor.

——*Balbinum* Polypus *Agnæ.*

—*Strabonem* Appellat *petum*, pater & *pullum* male parvus

Si cui filius eſt; ut *abortivus* fuit olim

Siſyphus: hunc *varum* diſtortis cruribus, illum Balbutit *ſcaurum, pravis* fultum male *talis*

Parcius hic vivit *frugi* dicatur. *Ineptus*

Et *jactantior* hic paulo eſt: *concinnus* amicis

Poſtulat ut videatur: at eſt *truculentior*, atque

ὄντα,

Alius quia ſimus, gratioſus a nobis judicatur laudaturque: aquilinum vero regium appellatis. Alius quia medius iſtorum eſt, concinnus admodum vobis eſſe videtur, fuſcos viriles vocatis: candidos Deorum filios. μελαγχλώρυς autem appellationem, unde defluxiſſe arbitraris niſi ab Amatore molli quodam vocabulo adblandiente & in Amaſia facile ferente pallorem, cum in florida eſt ætate? Et, ut ſummatim dicam, quaſcunque captatis occaſiunculas, & nihil non dicitis, quo neminem omnino florentis ætatis adoleſcentem rejiciatis. Si in me oſtendere cupis quo pacto amatores afficiantur, diſputationis gratia hoc accipio. Quid vini avidos? nonne ſimiliter vides? quodlibet vinum quacunque capta occaſione vehementer expetere? Valde. Quinetiam animadvertiſſe te arbitror, quod ambitioſi homines, ſi exercitus totius præfecturam aſſequi nequeant, ſaltem tribuni eſſe volunt: ac niſi a magnis venerandiſque hominibus honorentur, honorem ab ignobilibus accipiunt, utpote qui honorem prorſus affectent. Magnopere. Fateberis hoc, an non? Num eum quem amare quidpiam dicimus, omnem illam rem ardere dicemus? an partim exoptare rem eam, partim nequaquam fatebimur? Omnem. Nonne philoſophum ſapientiæ ſtudioſum eſſe dicemus, non hujus qui-

Plus æquo *liber*: *ſimplex fortiſque* habeatur.

Caldior eſt: *acres* inter numeretur.

Hor. lib. Sat. 1. Sat. 3.

1 Μελαγχλώρυς] Fortaſſe legendum eſt μελιχρόυς, vel potius μελιχρόν, vel μελίχλωρυς ut antea.

2 Ἆρ' οὖν ἂν] Lege ἆρ' ὃν ἂν &c. Philoſophi definitio a nominis notatione, cujus primus διορισμὸς eſt φιλομάθεια. Secundus, φιλαλήθεια, quas docet ex earum oppoſitis: Non omnes quidem φιλοθεάμονας, qui rerum veritatem in exiguis quærunt artibus, nomine Philoſophorum eſſe dignos, qui περὶ τὸ ὄντως ὂν minime verſantur.

dem

ὄντα, καὶ μήπω λόγον ἔχοντα τί τε χρηστὸν καὶ μὴ, οὐ φήσομεν φιλομαθῆ, οὐδὲ φιλόσοφον εἶναι· ὥσπερ τὸν περὶ τὰ σιτία δυσχερῆ οὔτε πεινῆν φαμὲν, οὔτ' ἐπιθυμεῖν σιτίων· οὐδὲ φιλόσιτον ἀλλὰ κακόσιτον εἶναι. Καὶ ὀρθῶς γε φήσομεν. Τὸν δὲ δὴ εὐχερῶς ἐθέλοντα παντὸς μαθήματος γεύεσθαι, καὶ ἀσμένως ἐπὶ τὸ μανθάνειν ἰόντα, καὶ ἀπλήστως ἔχοντα, τοῦτον δ' ἐν δίκῃ φήσομεν φιλόσοφον· ἦ γάρ; Καὶ ὁ Γλαύκων, ἔφη, Πολλοὶ ἄρα καὶ ἄτοποι ἔσονταί σοι τοιοῦτοι· ὥστε γὰρ φιλοθεάμονες πάντες ἔμοιγε δοκοῦσι τῷ καταμανθάνειν χαίροντες, τοιοῦτοι εἶναι· οἵ τε φιλήκοοι ἀτοπώτατοι τινὲς εἰσὶν, ὡς γ' ἐν φιλοσόφοις τιθέναι· οἳ πρὸς μὲν λόγους καὶ τοιαύτην διατριβὴν ἑκόντες οὐκ ἂν ἐθέλοιεν ἐλθεῖν· ὥσπερ δὲ ἀπομεμισθωκότες τὰ ὦτα ἐπακοῦσαι πάντων χορῶν, περιθέουσι τοῖς Διονυσίοις, οὔτε τῶν κατὰ πόλεις οὔτε τῶν κατὰ κώμας ἀπολειπόμενοι· τούτους οὖν πάντας, καὶ ἄλλους τοιούτων τινῶν [1] μαθηματικοὺς, καὶ τοὺς τῶν τεχνυδρίων, φιλοσόφους φήσομεν; Οὐδαμῶς, εἶπον· ἀλλ' ὁμοίους μὲν φιλοσόφοις. Τοὺς δὲ ἀληθινοὺς (ἔφη) τίνας λέγεις; Τοὺς τῆς ἀληθείας (ἦν δ' ἐγὼ) φιλοθεάμονας. Καὶ τοῦτο μέν γ', ἔφη, ὀρθῶς· ἀλλὰ πῶς αὐτὸ λέγεις; Οὐδαμῶς (ἦν δ' ἐγώ) ῥᾳδίως, πρός γε ἄλλον· σὲ δὲ οἶμαι ὁμολογήσειν μοι τὸ τοιόνδε. Τὸ ποῖον; Ἐπειδή ἐστιν ἐναντίον καλὸν αἰσχρῷ, δύο αὐτὼ εἶναι. Πῶς δ' οὔ; Οὐκοῦν ἐπειδὴ δύο, καὶ ἓν ἑκάτερον· Καὶ τοῦτο. Καὶ περὶ δικαίου καὶ ἀδίκου, καὶ ἀγαθοῦ καὶ κακοῦ, καὶ πάντων τῶν εἰδῶν πέρι ὁ αὐτὸς λόγος· αὐτὸ μὲν, ἓν ἕκαστον εἶναι, τῇ δὲ τῶν πράξεων καὶ σωμάτων καὶ ἀλλήλων κοινωνίᾳ πανταχοῦ φανταζόμενα, πολλὰ φαίνεσθαι

1 Μαθηματικοὺς] Lege μαθητικοὺς, ut supra ἐρωτηματικὸς Ponitur pro ἐρωτητικός.

ἕκαστον.

dem avidum, illius non, ſed omnis potius ſapientiæ? Vera loqueris. Eum igitur qui aliquam odit doctrinam, præſertim dum eſt juvenis, neque dum ratione delectum habet quid conferat, quidve non conferat, diſcernentem, nequaquam diſcendi cupidum, vel ſapientiæ amatorem eſſe aſſeverabimus: quemadmodum illum qui faſtidit epulas, neque eſurire dicimus, neque epulas concupiſcere, neque amatorem cibi, ſed contemprorem vocamus. Et merito quidem. Hominem vero ad quamlibet doctrinam deguſtandam propenſiorem, ad diſcendumque promptiſſimum, & inexplebiter inhiantem, merito philoſophum nuncupabimus. Nonne? Tunc Glauco inquit, multi & abſurdi quidem homines tales eſſe conperientur. Nam qui ſpectaculorum avidi ſunt, diſcendi cupidi eſſe videntur: & ad audiendum curioſos homines, abſurdum eſt philoſophos dicere, qui ad rationem dicendi diſſerendique haud libenter accedunt: verum ad omnes choros protinus audiendos, quaſi auribus mercede conductis, in *Bacchanalibus* obverſantur, necnon omnes, ſive in urbe ſive in pagis agantur, audire percupiunt. Nunquid iſtos omnes ac alios talium quorundam percipiendorum cupidos, & artibus viliſſimis incumbentes, philoſophos nominabimus? Nullo modo, ſed philoſophis ſimiles. Veros autem philoſophos, quos appellas? Veritatis inſpiciendæ cupidos. Recte quidem iſtud, ſed quomodo id dicis? Haud facile iſtud alii dicerem. Te autem hoc mihi daturum arbitror. Quid potiſſimum? Poſtquam contrarium eſt turpi pulchrum, duo hæc eſſe. Quidni? Et poſtquam duo hæc ſunt, ſingula unum erunt. Et hoc. De juſto quinetiam & injuſto, bono & malo, ſpeciebuſque omnibus ratio eadem. Nam quodlibet iſtorum, unum ipſum eſt: actionum vero & corporum alterna communione paſſim apparentia, ſingula

multa

ἕκαστον. Ὀρθῶς, ἔφη, λέγεις. Ταύτῃ τοίνυν (ἦν δ' ἐγὼ) διαιρῶ, χωρὶς μὲν, οὓς νῦν δὴ ἔλεγες φιλοθεάμονας τε καὶ φιλοτέχνους καὶ πρακτικοὺς, καὶ χωρὶς αὖ περὶ ὧν ὁ λόγος· οὓς μόνους ἄν τις ὀρθῶς προσείποι φιλοσόφους. Πῶς (ἔφη) λέγεις; Οἱ μὲν που (ἦν δ' ἐγὼ) φιλήκοοι καὶ φιλοθεάμονες τάς τε καλὰς φωνὰς ἀσπάζονται καὶ χρόας καὶ σχήματα, καὶ πάντα τὰ ἐκ τῶν τοιούτων δημιουργούμενα, αὐτοῦ δὲ τοῦ καλοῦ ἀδύνατος αὐτῶν ἡ διάνοια τὴν φύσιν ἰδεῖν τε καὶ ἀσπάσασθαι. Ἔχει γὰρ οὖν δὴ (ἔφη) οὕτως. Οἱ δὲ δὴ ἐπ' αὐτὸ τὸ καλὸν δυνατοὶ ἰέναι τε καὶ ὁρᾷν καθ' αὐτὸ, ἆρα οὐ σπάνιοι ἂν εἶεν; Καὶ μάλα. Ὁ οὖν καλὰ μὲν πράγματα νομίζων, αὐτὸ δὲ κάλλος μήτε νομίζων, μήτε, ἄν τις ἡγῆται [1] ἐπὶ τὴν γνῶσιν αὐτοῦ, δυνάμενος ἕπεσθαι, ὄναρ ἢ ὕπαρ δοκεῖ σοι ζῆν; σκόπει δέ· τὸ ὀνειρώττειν, ἆρα οὐ τόδε ἐστὶν, ἔαν τ' ἐν ὕπνῳ τὶς, ἐάν τε ἐγρηγορὼς, τὸ ὅμοιόν τῳ, μὴ ὅμοιον, ἀλλ' αὐτὸ ἡγῆται εἶναι ᾧ ἔοικεν; Ἔγωγ' οὖν ἂν (ἦ δ' ὃς) φαίην ὀνειρώττειν τὸν τοιοῦτον. Τί δέ; ὁ τἀναντία τούτων, ἡγούμενός τέ τι αὐτὸ καλὸν, καὶ δυνάμενος καθορᾷν καὶ αὐτὸ καὶ τὰ ἐκείνου μετέχοντα, καὶ οὔτε τὰ μετέχοντα, αὐτὸ, οὔτε αὐτὸ, τὰ μετέχοντα ἡγούμενος, ὕπαρ ἢ ὄναρ αὖ καὶ οὗτος δοκεῖ σοι ζῆν; Καὶ μάλα, ἔφη, ὕπαρ. Οὐκοῦν τούτου μὲν τὴν διάνοιας ὡς γιγνώσκοντος, γνώμην ἂν ὀρθῶς φαῖμεν εἶναι· οὗ δὲ δόξαν, ὡς δοξάζοντος; Πάνυ μὲν οὖν. Τί οὖν ἐὰν ἡμῖν χαλεπήνῃ οὗτος, ὃν φαμὲν δοξάζειν, ἀλλ' οὐ γιγνώσκειν, καὶ ἀμφισβητῇ ὡς οὐκ ἀληθῆ λέγομεν, ἕξομέν τι παραμυθεῖσθαι αὐτὸν, καὶ πείθειν

1 Ἐπὶ τὴν γνῶσιν] Possunt hæc verba præcedentibus vel sequentibus jungi eodem manente sensu. Quod autem hic ἡγεῖσθαι, alibi ἄγειν, dicit, de eadem re, sive de eodem homi-

ἠρέμα

multa videntur. Scite loqueris. Hac equidem ratione diſtinguo, ſeorſum quidem quos tu modo dicebas, vivendi cupidos & artium atque actionum ſtudioſos, ſeorſum quoque & illos de quibus eſt ſermo, quos ſolos merito quis philoſophos appellabit. Quomodo iſtud ais? Homines audiendi & videndi cupidi, pulchris vocibus, coloribus, & figuris, & omnibus quæ ex talibus conſtant, admodum delectantur, ipſius autem pulchri naturam cogitatio eorum non poteſt attingere. Sic eſt. Qui vero ad ipſum pulchrum aſcendere valeant, & ſecundum ſeipſum inſpicere, nonne rari? Rari admodum. Qui res iſtas pulchras exiſtimat ipſam vero pulchritudinem neque putat eſſe, neque ſiquis ducat ad perceptionem ejus, attingere poteſt, vere ſapere tibi videtur, an in ſomniis ludi? Condera itaque ſomniare non id eſt, quando ſive dormiens quis, ſeu vigilans, quod alicui ſimile eſt, non ſimile, ſed ipſum eſſe cenſet cujus eſt ſimile? Somnia videre hunc ego dicerem. Quid vero? qui contra affectus eſt, intelligitque quid ipſum pulchrum, ac diſcernere valet & ipſum & quæ ipſius participant, adeo ut neque ipſum illa eſſe, neque illa ipſum putet, vigilans vivit, an dormitans? Certe pervigil. Hujus igitur cogitationem vel cognoſcentis, cognitionem jure vocabimus: hujus tanquam opinantis, opinionem. Omnino. Si nobis ſuccenſeat is quem opinari dicimus non cognoſcere, negetque nos vera loqui, qua ratione eum mitigabimus, ſenſimque & blande perſuadebimus ſanæ

num genere loquens: circa finem hujus libri αὐτὸ δὲ τὸ καλὸν μὴ ὁρῶντας, μηδ' ἄλλῳ ἐπ' αὐτὸ ἄγοντι δυναμένους ἕπεσθαι. *Stephanus.*

mentis

τρέμα ὑποκρυπτόμενοι ὅτι οὐχ ὑγιαίνει; Δεῖ γέτοι δή, ἔφη. Ἴθι δὴ σκοπῇ τί ἐρεῖμεν πρὸς αὐτόν· ἢ βέλει ὧδε πειραθώμεθα παρ' αὐτοῦ, λέγοντες ὡς εἴπι οἶδεν, οὐδεὶς αὐτῷ φθόνος, ἀλλ' ἄσμενοι ἂν ἴδοιμεν εἰδότα τι· ἀλλ' ἡμῖν εἰπὲ τόδε, Ὁ γιγνώσκων γιγνώσκει τι, ἢ οὐδέν; σὺ οὖν μοι ὑπὲρ ἐκείνου ἀποκρίνου. Ἀποκεινοῦμαι (ἔφη) ὅτι γιγνώσκει τι. Πότερον ὄν, ἢ οὐκ ὄν; Ὄν. πῶς γὰρ ἂν μὴ ὄν γέ τι γνωσθείη; Ἱκανῶς οὖν τοῦτο ἔχομεν, κἂν εἰ πλεοναχῇ σκοποῖμεν, ὅτι τὸ μὲν παντελῶς ὄν, παντελῶς γνωστόν· μὴ ὂν δὲ μηδαμῇ, πάντῃ ἄγνωστον. Ἱκανώτατα. Εἶεν· εἰ δή τι οὕτως ἔχει ὡς εἶναί τε καὶ μὴ εἶναι, οὐ μεταξὺ ἂν κείοιτο δὴ εἰλικρινῶς ὄντος καὶ δὴ αὖ μηδαμῆ ὄντος; Μεταξύ. Οὐκοῦν ἐπὶ μὲν τῷ ὄντι γνῶσις ἦν ἀναγκαίως, ἀγνωσία δ' ἐξ ἀνάγκης ἐπὶ τῷ μὴ ὄντι· ἐπὶ τῷ μεταξὺ δὲ τούτων, μεταξύ τι καὶ ζητητέον ἀγνοίας τε καὶ ἐπιστήμης, εἴ τι τυγχάνει ὂν τοιοῦτον. Πάνυ μὲν οὖν. Ἆρ' οὖν λέγομέν τι δόξαν εἶναι; Πῶς γὰρ οὔ; Πότερον ἄλλην δυνάμιν ἐπιστήμης, ἢ τὴν αὐτήν; Ἄλλην. Ἐπ' ἄλλῳ ἄρα τεταγμένη δόξα καὶ ἐπ' ἄλλῳ ἐπιστήμη, καθ' ἑκάτερα τὴν αὐτὴν δύναμιν, ἢ καθ' ἑκάτερα τὴν αὐτὴν δύναμιν ἑκατέρα τὴν αὐτῆς. Οὕτω. Οὐκοῦν ἐπιστήμης μέν, ἐπὶ τῷ ὄντι πέφυκε γνῶναι ὡς ἔστι τὸ ὄν; μᾶλλον δέ, ὧδέ μοι δοκεῖ πρότερον ἀναγκαῖον εἶναι διελέσθαι. Πῶς; Φήσομεν δυνάμεις εἶναι γένος τι τῶν ὄντων, αἷς δὴ καὶ ἡμεῖς δυνάμεθα ἃ δυνάμεθα, καὶ ἄλλο πᾶν ὅ, τι περ ἂν δύνηται· οἷον λέγω, ὄψιν καὶ ἀκοὴν τῶν δυνάμεων εἶναι, εἰ ἄρα μανθάνεις ὃ βούλομαι λέγειν τὸ εἶδος. Ἀλλὰ μανθάνω, ἔφη. Ἄκουσον δή· ὅ μοι φαίνεται περὶ αὐτῶν· δυνάμεως γὰρ ἐγὼ οὔτε τινὰ χροιὰν ὁρῶ, οὔτε σχῆμα, οὔτε τι τοιούτων οἷον καὶ ἄλλων πολλῶν πρὸς

ἃ

mentis eum non esse? Oportet sane. Adverte quid ad eum dicemus. Si vis, sane hunc in modum ab eo sciscitabimur, dicentes, quod siquid novit, nulla invidia, (vel non multum laboramus) sed gratum erit nobis & ipsum scire aliquid & quid sciat, novisse. Sed mihi id dicas. Quicunque cognoscitne aliquid aut nihil? At tu mihi ejus loco responde. Aliquid certe. Utrum quod est, an quod non est? Quod est. Quo enim modo quod non est, cognosci posset? Sufficienter istud constabit, si varia sub ratione pervestigetur, quod videlicet omnino ens, omnino & cognosci potest: nullo modo ens nullo modo cognosci. Sufficientissime. Age, si quid autem ita se habet, ut & sit & non sit, nonne medium erit inter id quod est omnino, & id quod nullo modo est? Medium. Circa id quod est, cognitio ipsa versatur. Ignoratio ex necessitate circa id quod non est. Circa Medium istorum, medium quoddam investigandum, scientiam inter & ignoratiam, siquid hujusmodi reperitur. Prorsus. Num aliquid esse opinionem dicimus: Quidni? Utrum eandem potentiam cum scientia, an diversam. Ergo circa aliud quidem versatur opinio, circa aliud quidem versatur opinio, circa aliud autem scientia, vel secundum potentiam eandem, vel secundum eandem utraque suiipsius potentiam. Est ita. An non scientia quidem circa id quod est, ea ratione qua ens est cognoscit? Imo vero necessarium esse censeo, ut prius ista distinguam. Qui? Dicemus utique potentias esse genus aliquod eorum quæ sunt, quibus & nos possumus quæcunque possumus, & aliud, quodcunque aliquid potest. Veluti visum & auditum potentias quasdam voco, si modo quod loquor intelligis. Intelligo equidem. Audi quod mihi de his videtur. Nam ego quidem istius potentiæ neque colorem video aliquem, neque

ἃ ἀποβλέτων, ἔνια διορίζομαι παρ' ἐμαυτῷ, τὰ μὲν, ἄλλα εἶναι, τὰ δὲ, ἄλλα· δυνάμεως δ' εἰς ἐκεῖνο μόνον βλέπω ἐφ' ᾧ τέ ἐστι καὶ ὃ ἀπεργάζεται· καὶ ταύτῃ ἑκάστην αὐτῶν δύναμιν ἐκάλεσα· καὶ τὴν μὲν ἐπὶ τὸ αὐτὸ τεταγμένην καὶ τὸ αὐτὸ ἀπεργαζομένην, τὴν αὐτὴν καλῶ· τὴν δὲ ἐπὶ ἑτέρῳ καὶ ἕτερον ἀπεργαζομένην, ἄλλην· τί δὲ σύ; πῶς ποιεῖς; Οὕτως, ἔφη. Δεῦρο δὴ πάλιν (ἦν δ' ἐγὼ) ὦ ἄριστε· ἐπιστήμην πότερον δύναμιν [1] τινὰ φῂς εἶναι αὐτὴν, ἢ εἰς τὶ γένος τίθης; Εἰς τοῦτο (ἔφη) πασῶν γε δυνάμεων ἐῤῥωμενεστάτην. Τί δέ; δόξαν, εἰς δύναμιν, ἢ εἰς ἄλλο εἶδος οἴσομεν; Οὐδαμῶς, ἔφη· ᾧ γὰρ δοξάζειν δυνάμεθα, οὐκ ἄλλό τι ἢ δόξα ἐστὶν. Ἀλλὰ μὲν δὴ ὀλίγον γε πρότερον ὡμολόγεις μὴ τὸ αὐτὸ εἶναι ἐπιστήμην τε καὶ δόξαν. Πῶς γὰρ ἂν (ἔφη) τόγε ἀναμάρτητον τῷ μὴ ἀναμαρτήτῳ ταυτὸν ποτέ τις νοῦν ἔχων τιθείη; Καλῶς, ἦν δ' ἐγώ· καὶ δῆλον ὅτι ἕτερον δόξα ἐπιστήμης ὁμολογεῖται ἡμῖν. Ἕτερον· Ἐφ' ἑτέρῳ ἄρα ἕτερόν τι δυναμένη ἑκατέρα αὐτῶν πέφυκεν. Ἀνάγκη. Ἐπιστήμη μὲν γέ που ἐπὶ τῷ ὄντι, τὸ ὂν γνῶναι ὡς ἔχει; Ναί. Δόξαν δὲ φαμὲν δοξάζειν; Ναί. Ἦ ταυτὸν ὅπερ ἐπιστήμη γινώσκει; καὶ ἔσται γνωστόν τε καὶ δοξαστὸν τὸ αὐτὸ; ἢ ἀδύνατον; Ἀδύνατον ἔφη, ἐκ τῶν ὡμολογημένων· εἴπερ ἐπ' ἄλλῳ ἄλλη δύναμις πέφυκε, δυνάμεις δὲ ἀμφότεραι ἐστὸν, δόξα τε καὶ ἐπιστήμη· ἄλλη δὲ ἑκατέρα, ὡς ἔφαμεν· ἐκ τούτων δὴ οὐκ ἐγχωρεῖ γνωστὸν καὶ δοξαστὸν ταυτὸν εἶναι. Οὐκοῦν εἰ τὸ ὂν γνωστὸν, ἄλλό τι ἂν δοξαστὸν, ἢ τὸ ὂν εἴη; Ἄλ-

1 Τινὰ φῂς] In *Ald.* exempli scribitur τινὰς, quod nullum habere hic locum potest. Sed nihilo convenit huic loco τινὸς, quod in *Basil.* Editione pro illo τινὰς substitutum fuit. Illud quoque αὐτὴν Lectori negotium facessere non debet: quum alibi talis Pleonasmus inveniatur. In iis vero quæ pro-

λο.

neque figuram, neque quicquam talium, qualia plurium reliquorum, ad quæ reſpiciens, aliqua apud me diſtinguo, hæc alia eſſe, alia illa. In potentia vero ad aliud ſolum aſpicio ad quod eſt, quodve agit: & hac ratione, quamlibet ipſarum, potentiam nuncupavi: & illam quidem quæ ad idem rendit, idemque agit, eandem voco: aliam vero illam quæ ad aliud ſpectat, & aliud operatur. Tu vero quid in his agis? Quod & tu. Age rurſus ad hæc convertere, ô vir optime, utrum ſcientiam potentiam quandam eſſe dicis? an in genus aliud refers? Potentiam, & omnium profecto validiſſimam. Opinionem vero, potentiamne, an aliud quiddam eſſe dicemus? Nequaquam inquit. Nam quo opinari poſſumus, non aliud eſt quam opinio. At paulo ante confitebaris, non idem eſſe ſcientiam & opinionem. Quo pacto quis mentem habens idem aſſeret quod falli poteſt, & quod non poteſt? Optime quidem. Conſtat itaque aliud eſſe apud nos ab opinione ſcientiam. Aliud plane. Utraque igitur circa aliud, aliud operari ſuapte natura poteſt. Neceſſe eſt. Scientia quidem, circa *id quod eſt*, *ipſum ens*, ut ſe habet, cognoſcere. Sane. Opinio autem opinari. Et hoc. An idem quod & ſcientia noſcit? eritque idem quod opinione percipitur, & quod ſcientia, an potius impoſſibile? Impoſſibile certe ex his quæ conceſſimus: ſiquidem circa aliud alia potentia ipſa natura verſatur, potentiæ vero utræque ſunt ſcientia ſcilicet & opinio: alia item utraque, ut eſt dictum. Ex his autem fieri non poteſt, ut idem ſit quod ſcientia comprehenditur, & quod opinione concipitur. Nonne igitur ſi ipſum ens cognitione percipitur, id quod concipitur opinione, aliud quiddam præter ip-

ximè ſequuntur deeſſe videtur vox ἄλλο: ut ita legatur, ἢ εἰς τὸ γιγνόμενον ἄλλο τίθης; Idem.

λο. Ἆρ' οὖν τὸ μὴ ὂν δοξάζει; ἢ ἀδύνατον ἔχ δοξάσαι τό γε μὴ ὄν; συνόει δέ· οὐχ ὁ δοξαζων ἐπί τι φέρει τιὼ δόξαν; ἢ οἷός τε αὖ δοξάζειν μὴν, δοξάζειν ἔχ μηδέν; Ἀδυνάτον. Ἀλλ' ἕν γέ τι δοξάζει ὁ δοξάζων; Ναί. Ἀλλὰ μὴν, μὴ ὄν γε, οὐχ ἕν τι, ἀλλὰ μηδέν, ὀρθότατ' ἂν προσαγορθοῖτο. Πάνυ γε. Μὴ ὄντι μὴν ἄγνοιαν ἐξ ἀνάγκης ἀπέδομεν, ὄντι ἔχ γνῶσιν. Ὀρθῶς, ἔφη. Οὐκ ἄρα ὂν, οὐδὲ μὴ ὂν δοξάζει. Οὐ γάρ. Οὔτε ἄρα ἄγνοια, οὔτε γνῶσις, δόξα ἂν εἴη. Οὐκ ἔοικεν. Ἆρ' οὖν ἐκτὸς τούτων ἐστὶν ὑπερβαίνουσα ἢ γνῶσιν σαφήνεια, ἢ ἄγνοιαν ἀσάφεια; Οὐδετέρα. Ἀλλ' ἆρα (ἦν δ' ἐγὼ) γνώσεως μέν σοι φαίνεται δόξα σκοτωδέστερον, ἀγνοίας ἔχ φανερώτερον; Καὶ πολύ γε, ἔφη. Εἰ δ' ἀμφοῖν μεταξὺ κεῖται; Ναί. Μεταξὺ ἆρα ἂν εἴη τούτοιν ἡ δόξα. Κομιδῇ μὲν οὖν. Οὐκοῦν ἔφαμεν ἐν τοῖς πρόσθεν, εἴ τι φανείη οἷον ἅμα ὄν τε καὶ μὴ ὄν, τὸ τοιοῦτον μεταξὺ κεῖσθαι τοῦ εἰλικρινῶς ὄντος τε καὶ παντὸς μὴ ὄντος; καὶ οὔτε ἐπιστήμην οὔτε ἄγνοιαν ἐπ' αὐτῷ εὕρομεν, ἀλλὰ τὸ μεταξὺ αὖ φανὲν ἀγνοίας καὶ ἐπιστήμης; Ὀρθῶς. Νῦν δέ γε πέφανται μεταξὺ τούτοιν ὃ δὴ καλοῦμεν δόξαν. Πέφανται. Ἐκεῖνο δὴ λείπεται ἂν ἡμῖν βρέξειν, ὡς ἔοικε, τὸ ἀμφοτέρων μετέχον, καὶ εἶναι τε καὶ μὴ εἶναι, καὶ οὐδέτερον εἰλικρινὲς ὀρθῶς ἂν προσαγορεύοιμεν· ἵνα ἐὰν φανῇ δοξαστὸν αὐτὸ εἶναι, ἐν δίκῃ προσαγορεύωμεν, τοῖς μὲν ἄκροις τὰ ἄκρα, τοῖς δὲ μεταξὺ τὰ μεταξὺ ἀποδιδόντες· ἢ οὐχ οὕτως; Οὕτω. Τούτων δὴ ὑποκειμένων, λεγέτω μοι, φήσω, καὶ ἀποκρινέσθω ὁ χρηστός· ὃς αὐτὸ μὲν καλὸν, καὶ ἰδέαν τινὰ αὐτοῦ καλ-

1 Εἰ δ' ἀμφοῖν] Legi posse videtur εἰ, ἢ δ' ἀμφοῖν &c. vel ἢ δή; ἀμφοῖν, &c.

2 Ἆρα ἂν εἴη] Potius scribendum

ſum ens eſt dicendum? Aliud. Nunquid non ens opinatur? an impoſſibile eſt opinari non ens? Sic autem cogita. Nonne quiſquis opinatur, ad aliquid opinionem dirigit? an poſſibile eſt opinari quidem, opinari autem nihil? Impoſſibile. At unum aliquis opinatur, quiſquis opinatur? Proculdubio. Quod vero non eſt, non unum aliquid, ſed nihil potius eſt dicendum. Prorſus. Non enti quidem ex neceſſitate ignorantiam tribuimus, enti vero cognitionem. Recte admodum. Ergo neque non ens, opinatur. Sic eſt. Quare nec ignorantia neque cognitio erit opinio. Non, ùt videtur. Num extra hæc eſt exſuperans vel cognitionem perſpicuitas vel obſcuritas ignorantiam? Neutrum iſtorum. An forte tibi videtur opinio cognitione obſcurior, ignorantia clarior? Maxime. Inter utraque igitur jacet? Certe. Media ergo iſtorum erit opinio? Media. An non ſupra diximus, ſiquid appareret tale ut ſimul eſſet & non eſſet, illud inter vere ens, & omnino non ens eſſe ponendum? neque ſcientiam ad illud, neque ignorantiam pertinere, ſed quo medium inter ignorantiam rurſus appareat & ſcientiam? Scite. Nunc autem apparuit medium iſtorum eſſe, quod opinionem vocamus. Plane. Illud itaque nobis, ut arbitror, reſtat inveniendum, quod utriuſque ſi particeps, ipſius *eſſe* ſcilicet & *non eſſe*, neutrumque illorum ſyncere dici debeat: ut ſi nobis pateat, opinabile quiddam merito nuncupemus, extremis quidem extrema, mediis autem media tribuentes. An non ita? Ita prorſus. His ita poſitis percontabor eum, qui ipſum pulchrum, & pulchritudinis ideam unam eſſe negat, ſemper eodem modo ſecundum ea-

dum ἆρα, quo ſignificetur Itane: ut poſt δῆτα interrogationis nota ponatur. *Idem.*

3 Ὃς αὐτὸ μὲν] In *Ald.* Edit, ſcriptum eſt ut hic. In quodam veteri libro ᾧ αὐτὸ μέν, at in illis *Baſil.* exemplaribus *Valderi*, male αὐτὸς ſcriptum eſt

λους μηδεμίαν ἡγείτῃ ἀεὶ κατὰ ταυτὰ ὡσαύτως ἔχουσαν· πολλὰ δὲ τὰ καλὰ νομίζει ἐκεῖνος ὁ Φιλοθεάμων, καὶ οὐδαμῇ ἀνεχόμενος ἄν τις ἓν τὸ καλὸν φῇ εἶναι καὶ δίκαιον, καὶ τἄλλα οὕτω· τούτων γὰρ δὴ, ὦ ἄριστε (Φήσομεν) τῶν πολλῶν καλῶν, μῶν τι ἐστὶν ὃ οὐκ αἰσχρὸν Φανήσεται; καὶ τῶν δικαίων, ὃ οὐκ ἄδικον; καὶ τῶν ὁσίων, ὃ οὐκ ἀνόσιον; Οὐκ· ἀλλ' ἀνάγκη, ἔφη, καὶ καλά πως αὐτὰ καὶ αἰσχρὰ φανῆναι, καὶ ὅσα ἄλλα ἐρωτᾷς. Τί δὲ; τὰ πολλὰ διπλάσια ἧττόν τι ἡμίσεα ἢ διπλάσια Φαίνεται; Οὐδέν· Καὶ μεγάλα δὴ καὶ σμικρὰ, καὶ κοῦφα καὶ βαρέα, μή τι μᾶλλον ἃ ἂν Φήσωμεν, ταῦτα προσρηθήσεται, ἢ τἀναντία; Οὐκ· ἀλλ' ἀεὶ, ἔφη, ἕκαστον ἀμφοτέρων ἕξεται. Πότερον οὖν ἐστὶ μᾶλλον ἢ οὐκ ἔστιν ἕκαστον τῶν πολλῶν τοῦτο ὃ ἄν τις Φῇ αὐτὸ εἶναι; Τοῖς ἐν ταῖς ἑστιάσεσιν (ἔφη) ἐπαμφοτερίζουσιν ἔοικε, καὶ τῷ τῶν παίδων αἰνίγματι τῷ περὶ τοῦ εὐνούχου [1] τῆς βολῆς περὶ τῆς νυκτερίδος, ὡς καὶ ἐφ' οὗ αὐτὸν αὐτῷ αἰνίττονται βαλεῖν· καὶ γὰρ ταῦτα ἐπαμφοτερίζειν, καὶ οὔτ' εἶναι οὔτε μὴ εἶναι οὐδὲν αὐτῶν δυνατὸν παγίως νοῆσαι, οὔτ' ἀμφότερα, οὔτε οὐδέτερον. Ἔχεις οὖν αὐτοῖς (ἦν δ' ἐγὼ) ὅ, τι χρήσῃ, ἢ ὅποι θήσεις καλλίω θέσιν τῆς μεταξὺ οὐσίας τε καὶ τοῦ μὴ εἶναι; οὔτε γάρ που σκοτωδεστέρα μὴ ὄντος πρὸς τὸ μᾶλλον μὴ εἶναι Φανήσεται, οὔτε φανερώτερα ὄντος πρὸς τὸ μᾶλλον εἶναι. Ἀληθέστατα, ἔφη. Εὑρήκαμεν ἄρα, ὡς ἔοικεν, ὅτι τὰ τῶν πολλῶν πολλὰ

pro αὐτὸ neutra vocula (nec καὶ nec ὃς) præfixa. Videtur mihi nullo ὃς opus esse, quod interpolatum credo a similitudine syllabæ qua clauditur præcedens nomen Χρηστός. *Idem.*

1 Τῆς Βολῆς] Male ut aliqui volunt βουλῆς. Sed περὶ vel expungendum vel ante τῆς ponendum videtur. Falsos philosophos deridet sub nomine *Opinatorum* (eosdem puto cum *Sophistis*, quos jam satis exposuit) docetque quam longe discrepat *Scientia* ab *Opinione*, cum *Hæc*, circa quod est, περὶ

νόμιμα

dem se habentem: multa vero pulchra esse ducit, & pulchris rebus spectandis deditus, nullo modo admittit unum esse pulchrum, unum justum similiterque de cæteris, percontabor inquam hunc in modum, estne aliquid ex hisce multis pulchris vir optime quod non turpe etiam videatur? Itemque ex justis quod non injustum: & sanctis quod non prophanum? Non, sed necesse est pulchra ipsa turpia etiam & quotcunque alia interrogas, apparere. Quid multa dupla? num minus dimidia, quam dupla videntur? Nihilo minus & magna insuper & parva, lenia item & gravia, nunquid magis talia quam contraria vocabuntur? Non, sed singula semper utraque participabunt. Utrum est magis quam non est unumquodque multorum, id ipsum quod quis illud esse dicit? Simile hoc ex iis quæ in conviviis ad utranque partem plerunque dicuntur, & Ænigmati puerorum de eunucho & verspertilionis percussione, quomodo & in quo illum avem arguunt percussisse. Hæc enim ambigua sunt, neque esse, neque non esse ipsorum aliquid neque neutra firmiter intelligi potest. Habesne qua ratione his utaris? Vel convenientiorem positionem istorum inducere potes, quam mediam inter essentiam & non esse? Neque enim obscurior quam non ens, ad hoc ut sit magis. Vera loqueris. Invenimus igitur, ut videtur, quod multa illa quæ a multis pulchra, aut alia quoquo modo

τὸ ὄν & τὰ ὄντα, (quibus vocibus *Deum* & Creationem significat) *Illa* circa quod non est, operatur. Cum igitur supradictum est *Opinionem* esse aliquid inter *cognitionem* & *Ignorantiam*, comparatur Ænigmati Vespertilionis & Eunuchi, cujus interpretatio est medium nescio quid vel quale. Ænigma sic se habet. Ἀνήρ τε κοὐκ ἀνὴρ, ὄρνιθά τε κοὐκ ὄρνιθα ἰδών τε κοὐκ ἰδὼν, ἐπὶ Ζύλου τε κοὐ Ζύλου, καθεμήνην τε κοὐ καθεμήνην, λίθῳ τε κοὐ λίθῳ βάλοι τε κοὐ βάλοι. Id est Eunuchus qui alterum oculum habuit clausum vidit Verspertilionem stantem in Ferulam, quem petiit sed non percussit pumice. Res sane ridicula & *Opinatoribus* digna.

νόμιμα καλῶ τε πέρι καὶ τῶν ἄλλων, μεταξύ που κυλινδεῖται τοῦ τε ὄντος καὶ τοῦ μὴ ὄντος. Εἰλικρινῶς εὑρήκαμεν. Προωμολογήσαμεν δέ γε, εἴτι τοιοῦτον φανείη, δοξαστὸν αὐτὸ ἀλλ' οὐ γνωστὸν δεῖν λέγεσθαι, καὶ τῇ μεταξὺ δυνάμει τὸ μεταξὺ πλανητὸν ἁλισκόμενον. Ὡμολογήσαμεν. Τοὺς ἄρα πολλὰ καλὰ θεωμένους, αὐτὸ δὲ τὸ καλὸν μὴ ὁρῶντας, μηδ' ἄλλῳ ἐπ' αὐτὸ ἄγοντι δυναμένους ἕπεσθαι, καὶ πολλὰ δίκαια, αὐτὸ δὲ τὸ δίκαιον, μὴ, καὶ πάντα οὕτω, δοξάζειν φήσομεν ἅπαντα, γιγνώσκειν δὲ ὧν δοξάζουσιν οὐδέν. Ἀνάγκη, ἔφη. Τί δ' αὖ; τοὺς αὐτὰ ἕκαστα θεωμένους, καὶ ἀεὶ κατὰ τὰ αὐτὰ ὡσαύτως ὄντα, ἆρ' οὐ γινώσκειν, ἀλλ' οὐ δοξάζειν; Ἀνάγκη καὶ ταῦτα. Οὐκοῦν καὶ ἀσπάζεσθαί τε καὶ φιλεῖν τούτους μὲν ταῦτα φήσομεν, ἐφ' οἷς γνῶσίς ἐστιν, ἐκείνους δὲ, ἐφ' οἷς δόξα; ἢ οὐ μνημονεύομεν ὅτι φωνάς τε καὶ χρόας καλὰς καὶ τὰ τοιαῦτα ἔφαμεν τούτους φιλεῖν τε καὶ θεᾶσθαι, αὐτὸ δὲ τὸ καλὸν οὐδ' ἀνέχεσθαι ὥς τι ὄν; Μεμνήμεθα. Μὴ οὖν τι [1] πλημμελήσωμεν φιλοδόξους καλοῦντες αὐτοὺς μᾶλλον ἢ φιλοσόφους; καὶ ἄρα ἡμῖν σφόδρα χαλεπανοῦσιν, ἂν οὕτω λέγωμεν. Οὔκ· ἂν γέ μοι πείθωνται, ἔφη· τῷ γὰρ ἀληθεῖ χαλεπαίνειν οὐ θέμις. Τοὺς αὐτὸ ἄρα ἕκαστον τὸ ὂν ἀσπαζομένους, φιλοσόφους ἀλλ' οὐ φιλοδόξους κλητέον. Παντάπασι μὲν οὖν.

1 Πλημμελήσωμεν] Fortasse scribendum est πλημμελήσομεν, & paulo post ἐ ἄρα, interrogative: vel κἂν ἄρα ut quædam habent exemp. sine interogationis puncto.

ΠΛΑ-

existimantur, media inter omnino ens & omnino non ens volvuntur. Invenimus plane. Confessi autem antea fueramus, quod aliquid tale apparuerit, non cognitione, sed opinione percipi dicendum, & cum medium pervagetur, media comprehendi potentia. Concessum fuit. Eos igitur qui pulchra hæc multa conspiciunt, ipsumve pulchrum non vident, neque eum sequi possunt qui ad id perducat, & multa contuentur justa, ipsum autem justum minime, & alia similiter, eos opinari cuncta dicemus, cognoscere autem nihil eorum quæ opinantur. Necesse est. Quid eos, qui ipsa quæque contemplantur, semper eodem modo secundum eadem se habentia, nonne cognoscere potius quam opinari? Necesse est & hoc. Nonne amare & admirari ista dicemus, in quibus versatur cognitio, illos autem in quibus opinio? An non recordamur quod voces & colores pulchros, & talia quædam diximus hosce diligere & intueri: ipsum vero pulchrum quod aliquid sit non admittere? Recordamur. Quare non aberrabimus si istos, φιλοδόξους id est, opinionis amicos, potius quam philosophos appellaverimus: quanquam acriter succensebunt nobis, si ita dicamus. Non si mihi pareant inquit. Nam veritati irasci nefas est. Itaque eos qui ipsum unumquodque per se ens amplectuntur & diligunt, philosophos non φιλοδόξους vocabimus. Ita decet, inquit.

PLA-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ


ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
00700001942 1

14856



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ